" Sed in domum profecta, tua opera administra,
" Telámque & colum, & ancillis impera
" Opus accelerare: sermo verò viris curæ erit
" Omnibus; potissimùm vero mihi: hujus enim imperium est in domo.
Illa quidem attonita, rursus in domum ivit;
Filii enim dictum prudens ponebat in animo.
Ad cœnaculum ubi conscendisset cum ancillis mulieribus,
Flevit subinde Ulyssem charum maritum, donec illi somnum
Dulcem palpebris immisit cæsia-oculis Minerva.
Proci verò tumultuabantur per ædes obscuras,

Σ Χ Ο Λ Ι Α.

347. Ὄρνυται.] Προέρπει.
349. Ἀλφηστῆσι.] Ἐφοδευτικῆς, ἐπιτυμβίοις, σοφίσμασι.
350. Οἶτον.] Θάνατον.
351. Ἐπικλείουσι.] Ὑμνοῦσι, δοξάζουσι.
352. Ἀκουόντεσσι.] Ἀκούσι. Νεωτάτη ἀμφιπέληται.] Περὶ πάνυ λέγει συνεπλεύσθησαν.
353. Ἐπιτολμάτω.] Ὑπομενέτω.
355. Ἐν Τροίῃ πολλοὶ δὴ καὶ ἄλλοι.] Διεσταλμένως ἀναγνωστέον. Οὐ γὰρ Ὀδυσσεὺς ἐν Τροίᾳ ἀπώλετο. Φῶτες.] Ἀνδρες.
356. Ἀλλ᾽ εἰς οἶκον ἰοῦσα.] Ἀθετοῦνται οὗτοι, ἐπεὶ δὲ Ἕκτορος καλῶς. Κόμιζε.] Ἐπιμελείας ἀξιῶ.
357. Ἠλακάτην.] Ἐργαλεῖον ἐριουργόν.
358. Ἐποίχεσθαι.] Περιέναι.
359. Κράτος.] Νῦν ἡ διατριβή.
360. Θαμβήσασα.] Ἐκπλαγεῖσα, θαυμάσασα. Βεβήκει.] Ἐπορεύετο.
361. Πεπνυμένον.] Συνετόν. Ἔνθετο θυμῷ.] Ἐνέβαλε τῇ ψυχῇ, συνῆκεν.
362. Ὑπερῷα.] Τὰ ἀνάγαια οἰκήματα.
363. Ὄφρα.] Μέχρις ὅτε, ἕως. Οἱ.] Αὐτῇ.
365. Ὠμάδησαν.] Ἐθορύβησαν. Ἀνὰ μέγαρα.] Καθ᾽ ὅλους τοὺς οἴκους. Σκιόεντα.] Σύσκια. Ἀφ᾽ τὸ ὑψος.

NOTÆ.

351. Τιὼ γὰρ ἀοιδὴν μᾶλλον) Vid. *Athenæ*: fol. 122. 356. Ἀλλ᾽ εἰς οἶκον ἰοῦσα) Confer *Iliad.* ζ. v. 490.

NOTÆ IN SCHOLIA.

356. Ἀλλ᾽ εἰς οἶκον ἰοῦσα) Male hîc *Critici* Quatuor hos Versus ἀθετοῦσι, quos in *Iliade*, ab *Hectore* benè proferri agnoscunt. *Telemachus* enim Virum jam agere incipit & in Paternæ Domûs jus succedit; quare nihil amplius per Matrem, verùm omnia sc. deinceps per se ministraturum profitetur. Confer *Sophocl.* Ajac. v. 504. & *Scholiastem*, in locum.

Ibid. Κόμιζε.) Ἐπιμελείας ἀξιῶ. Ità *Scholiastem* emendo, qui hactenus, Κόμιζε ἀξιῶ, quasi *Imperfectum* esset *Indicativi*, non *Imperativi* Præsens.

VARIÆ LECTIONES.

351. Ἐπικλείουσ᾽) γρ. ἐπιφέρουσιν, *Plato* de Rep. l. 3. & *Duport.* Gnomolog. *Homeric.* p. 151.
352. Ἀκουόντεσσι) γρ. ἀκουόντεσσιν, *Plato*, ibid. &c.
360. Οἰκόνδε βεβήκει) γρ. οἰκόνδ᾽ ἐβεβήκει, MS. C.C.C.

Πάντες

Πάντες δ' ἠρήσαντο παραὶ λεχέεσσι κλιθῆναι·
Τοῖσι δ' ἦ Τηλέμαχος πεπνυμένος ἦρχετο μύθων,
Μητρὸς ἐμῆς μνηστῆρες, ὑπέρβιον ὕβριν ἔχοντες,
Νῦν μὲν δαινύμενοι τερπώμεθα, μηδὲ βοητὺς
Ἔστω· ἐπεὶ τόγε καλὸν ἀκουέμεν ἐστὶν ἀοιδοῦ
Τοιοῦδ', οἷος ὅδ' ἐστί, θεοῖς ἐναλίγκιος αὐδήν.
Ἠῶθεν δ' ἀγορήνδε καθεζώμεσθα κιόντες
Πάντες, ἵν' ὑμῖν μῦθον ἀπηλεγέως ἀγορεύω,
Ἐξιέναι μεγάρων· ἄλλας δ' ἀλεγίνετε δαῖτας,
Ὑμὰ κτήματ' ἔδοντες, ἀμειβόμενοι κατ' οἶκους.
Εἰ δ' ὔμμιν δοκέει τόδε λώιτερον καὶ ἄμεινον
Ἐμμενέναι, ἀνδρὸς ἑνὸς βίοτον νήποινον ὀλέσθαι,
Κείρετ'· ἐγὼ δὲ θεοὺς ἐπιβώσομαι αἰὲν ἐόντας,
Αἴκε πόθι Ζεὺς δῶσι παλίντιτα ἔργα γενέσθαι,
Νήποινοί κεν ἔπειτα δόμων ἔντοσθεν ὄλοισθε.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ὀδὰξ ἐν χείλεσι φύντες,
Τηλέμαχον θαύμαζον, ὃ θαρσαλέως ἀγόρευε.
Τόνδ' αὖ Ἀντίνοος προσέφη, Εὐπείθεος υἱός,
Τηλέμαχ', ἦ μάλα δή σε διδάσκησιν θεοὶ αὐτοὶ
Ὑψαγόρην τ' ἔμμεναι, καὶ θαρσαλέως ἀγορεύειν·
Μή σέ γ' ἐν ἀμφιάλῳ Ἰθάκῃ βασιλῆα Κρονίων

Omnes autem cupiebant cum illâ in lectis recumbari.
Illis verò Telemachus prudens incepit sermonem,
" Matris meæ proci, immensâ contumeliâ elati,
" Nunc quidem convivantes delectemur, neque clamor
" Adsit; nam hoc honestum est audire cantorem
" Talem, qualis ille est, diis assimilis voce.
" Manè verò in concionem consideamus venientes
" Omnes, ut vobis sermonem audenter renunciem,
" Ut excatis ex ædibus; alias porrò sequimini dapes,
" Vestra bona absumentes, alternis *convivatis* per ædes *singulas*.
" Si verò vobis videtur hoc satius & melius
" Esse, viri unius victum impunè perdere,
" Absumite; ego verò deos invocabo sempiternos,
" Si unquam Jupiter det vicissim retributionem fieri;
" Inulti sanè postea intra ædes peretis.
Sic ait; illi verò omnes mordicùs labris compressis
Telemachum admirabantur, ob id, quod audaciter loquutus esset.
Hunc rursus Antinous alloquutus est, Eupithei filius,
" O Telemache, certè admodùm te docuerunt dii ipsi
" Sublimiloquum esse, & confidenter proloqui.
" Ne te utique in circumfluâ Ithacâ regem Saturnius

Σ Χ Ο Λ Ι Α.

366. Παραὶ λεχέεσσι.] Παρὰ κοίταις. Κλιθῆναι.] Συγκλιθέντας.

368. Ὑπέρβιον, κ.λ.] Ὑπερήφανοι, βιαίαν ὕβριν ἔχοντες.

369. Δαινύμενοι.] Εὐωχούμενοι. Βοητύς.] Βοή, κραυγή.

371. Ἐναλίγκιος.] Ὅμοιος.

372. Κιόντες.] Ἐλθόντες.

373. Ἀπηλεγέως.] Ἀπερίφρασ, πρῶτος. Ἀπειπὼν.] Ἀποφανοῦμαι.

374. Ἐξιέναι.] Ἐξελθεῖν, ἀντὶ τοῦ ἐξέλθετε. Ἄλλας δ' ἀλεγίνετε δαῖτας.] Ἄλλας δὲ ἀφ' ἑστιάσεις ἔχετε εὐωχίας.

375. Ὑμά.] Ὑμέτερα.] Ἀμειβόμενοι.] Ἐκ ἀλλοδοχῆς ἀλλήλους ἀποδεχόμενοι, ἢ ἀμοιβῆς.

376. Δοκέῃ.] Δοκεῖ, νομίζῃ. Λώιτερον.] Κρεῖττον, βέλτιον.

377. Νήποινον.] Ἀτιμώρητον, ἀνεκδίκητον.

378. Κείρετε.] Συντόμως εἰπέ. Ἐπιβώσομαι.] Ἐπικαλέσομαι.

379. Παλίντιτα.] Ὑπὲρ ὧν ἐξ ἑτέρου πωμφλια γένῃ.

380. Νήποινοι.] Ἀπρωώρητοι, ἀνεκδίκητοι. Ὄλοισθε.] Ἀπόλοισθε.

381. Ὀδὰξ ἐν χείλεσι φύντες.] Ἐνδακόντες τὰ χείλη.

382. Ὃ.] Διὸ. Θαρσαλέως.] Τολμηρῶς, καὶ παῤῥησιαστικῶς.

385. Ὑψαγόρην.] Μεγαλορρήμονα.

386. Ἀμφιάλῳ.] Περιῤῥυτῷ πανταχόθεν ὑπὸ τῆς θαλάσσης.

N O T Æ.

374. Ἐξιέναι μεγάρων) Hi septem dehinc Versus iterum occurrunt, *Odyss.* β'. v. 139. ut plurima alia &c.

N O T Æ I N S C H O L I A.

371. Ἐναλίγκιος) Ὅμοιος. Et hoc ex *Aloysii* MSto.

372. Καθαιρεῖτε) Κομᾶτε. Deleo ex hoc loco, cùm nihil in *Textu* simile reperiatur. Ad *Odyss.* π'.

377. Νήποινον) Ἀπρωώρητον, ἀδίκητον. Ex *Aloysii* MSto. Lego, ἀνεκδίκητον, ut Mox.

380. Νήποινοι) Ἀπρωώρητοι, ἀνεκδίκητοι, MS. GC.

Πολλὰ-

Πείσεται· ὅ τι γενεῇ πατρώϊόν ἐστι.

Τόνδ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα,
Ἀντίνοε, εἶπερ μοὶ ϗ ἀγάσεαι, ὅ, τί κεν εἴπω;
Καί κεν τῶτ' ἐθέλοιμι, Διός γε δόσιν φέρεσθαι.
Ἦ φῂς τοῦτο κάκιστον ἐν ἀνθρώποισι πτύχθαι;
Οὐ μὲν γάρ τι κακὸν βασιλεύεμεν· αἶψά τε οἵ δῶ
Ἄφενος πολύν, ϗ τιμήτερος αὐτός·
Ἀλλ' ἦτοι βασιλῆες Ἀχαιῶν εἰσὶ ϗ ἄλλοι
Πολλοὶ ἐν ἀμφιάλῳ Ἰθάκῃ, νέοι ἠδὲ παλαιοί·
Τῶν κέν τις τόδ' ἔχῃσιν, ἐπεὶ θάνε δῖος Ὀδυσσεύς.
Αὐτὰρ ἐγὼν οἶκόν γε ἄναξ ἔσομ' ἠμετέροιο,
Καὶ δμώων, οὕς μοι κλῄσσατο δῖος Ὀδυσσεύς.

Τόνδ' αὖ Εὐρύμαχος Πολύβου παῖς ἀντίον ηὔδα,
Τηλέμαχ', ἦτοι ταῦτα θεῶν ἐν γούνασι κεῖται,
Ὅστις ἐν ἀμφιάλῳ Ἰθάκῃ βασιλεύσῃ Ἀχαιῶν·
Κτήματά δ' αὐτὸς ἔχοις, ϗ δώμασιν εἴσιν ἀνάσσοις.
Μὴ γὰρ ὄγ' ἔλθοι ἀνὴρ, ὅστις σ' ἀέκοντα βίηφι

" Conſtituat, quod tibi propter genus ex patre hæreditarium eſt.
Hunc rurſus Telemachus prudens contra alloquutus eſt,
" Antinoë, an mihi iraſceris, ſi quid dixero?
" Et ſanè hoc vellem, Jove utique concedente, accipere.
" An dicis hoc peſſimum in hominibus eſſe?
" Non enim ullo pacto malum eſt, Regem eſſe; ſtatim ei domus
" Dives fit, & honoratior ipſe:
" Sed certè reges Achæorum ſunt etiam alii
" Multi in circumfluâ Ithacâ, Juvenes & Senes:
" Horum aliquis hoc habeat; quoniam mortuus eſt divus Ulyſſes,
" Cæterùm ego domûs rex ero noſtræ,
" Et mancipiorum, quæ mihi acquiſivit divus Ulyſſes.
Hunc ſtatim Eurymachus Polybi filius contrà alloquutus eſt,
" Telemache, certè hæc deorum in genubus poſita ſunt,
" Quinam circumfluæ Ithacæ dominabitur Achæorum:
" Bona verò ipſe habeas & ædibus illius imperes.
" Non enim ille veniat vir, qui te invitum vi

ΣΧΟΛΙΑ.

389. Ἀγάσεαι.] Θαυμάσεαι, ἢ φθονήσεις.

390. Καί κεν τῶτ' ἐθέλοιμι.] Τὸ ἐθελοντεύειν, Διὸς βουλομένου. Οὐ γὰρ ἐπὶ πάνυ κακόν. Ἀρίζ.] Ὑπερίσχυσαν.

391. Ἦ φῂς.] Ἦ ἄρα λέγεις.

392. Βασιλεύεμεν.] Βασιλεύειν.

393. Τιμήτερος.] Τιμιώτερος.

396. Ἔχῃσιν.] Ἔχοιτο.

398. Δμώων.] Δούλων, οἰκετῶν. Λελείμμ.] Ἀπὸ λείας πολεμικῆς ἐκτήσατο. Λεία γὰρ κυρίως, ἡ ἐκ πολεμικῶν λαφύρων συναγωγή.

399. Πολύβου παῖς.] Εὐρύμαχος.

403. Βίηφι.] Βιαίως, βίᾳ.

NOTÆ.

397. Αὐτὰρ ἐγὼν οἶκόν γε ἄναξ ἔσομ' ἠμετέροιο) De *Rhythmo*, vid. ad v. 40.

398. Λελείμμ.) Ità pro λελείπ scribendum, ut in omnibus Exemplaribus ſcriptum. *Iliad.* σ'. v. 28. Vid. ad v. 323.

402. Δώμασιν εἴσιν) Τυπίστ, δώμασιν αὐτῦ, λελειῶπ, & Ὀδυσσέως.

403. Μὴ γὰρ ὄγ' ἔλθοι ἀνὴρ, ὅστις σ' ἀέκοντα βίηφι) Ex omnibus, quæ viderim, Exemplaribus aberat τὸ σ', pro σὲ, quæ Vocula poſt ὅστις exciderat, ut fieri ſolet, *Jove* annuente; nec enim illud malum, ἐδὲ γὰρ ἐπὶ πάνυ κακὸν, MS. *GC.* ἐ γ̃, &c. Ego κακὸν lego, pro καλὸν, ut & *Aloyſii* MS. eſt enim ἐξηγητικὸν illius, v. 391. Ἦ φῂς τοῦτο κάκιστον; Utcunque res ceciderit; Domûs ſaltem Paternæ adminiſtrationẽ ſibi vindicat.

398. Λελείμμ.) Ἀπὸ λείας πολεμικῆς ἐκτήσατο. Hæc ex MS. *GC.* ſumpta, præinſerenda duxi; ad ſequentium dilucidationem. Malè olim in *Impreſſis* aberant, quanquam MS. *Aloyſii* agnoſcat.

VARIÆ LECTIONES.

398. Λελείμμ.) *al.* Λείπ. Vid. Not. in *Textum*, & ſuprà, ad v. 323.

402. Δώμασιν εἴσιν) *al.* δώμασι σῇσιν.

403. Ὅστις σ' ἀέκοντα) *al.* ὅστις ἀέκοντα, Vid. Not. in *Textum*.

Κτήμαθ'

Κτήμαΐ' ἀποῤῥαίσῃ, Ἰθάκης ἔτι ναιετάουσι.
Ἀλλ' ἐθέλω σε, φέριστε, περὶ ξείνοιο ἔρεσθαι,
Ὁππόθεν ὅτ' ἀνὴρ, ποίης δ' ἐξ αὔλης εἶναι
Γαίης· πῇ δέ νύ οἱ γενεὴ καὶ πατρὶς ἄρουρα·
Ἦέ τοι ἀγγελίῃσι πατὴρ Φέρῃ ἐρχομένοιο,
Ἦ ἐὸν αὐτῆς χρεῖος ἐλαυνόμενος τόδ' ἱκάνῃ;
Οἷον ἀναΐξας ἄφαρ οἴχεται, οὐδ' ὑπέμεινε
Γνώμεναι· ὃ μὲν γάρ τι κακὸς εἰς ὧπα ἐΐκτην.
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα,
Εὐρύμαχ', ἦτοι τόσος ἀπώλετο πατρὸς ἐμοῖο,
Οὔτ' ἂν ἀγγελίῃς ἔτι πείσομαι, οὔτοθεν ἔλθοι,
Οὔτε θεοπροπίης ἐμπάζομαι, ἥντινα μήτηρ
Ἐς μέγαρον καλέσασα θεοπρόπον ἐξερέηται.
Ξεῖνος δ' ὅτος ἐμὸς πατρώϊος ἐκ Τάφου ἐστὶ,
Μέντης Ἀγχιάλοιο δαΐφρονος εὔχεται εἶναι
Υἱὸς, ἀτὰρ Ταφίοισι φιληρέτμοισιν ἀνάσσει.
Ὣς φάτο Τηλέμαχος· φρεσὶ δ' ἀθανάτην θεὸν ἔγνω.
Οἱ δ' εἰς ὀρχηστύν τε καὶ ἱμερόεσσαν ἀοιδὴν

" Bonis deprædaturus sit, Ithacâ adhuc habitatâ.
" Sed volo te, optime, de hospite interrogare.
" Unde ille vir, quali autem gloriatur esse
" E terrâ, ubinam ei genus & patrium solum :
" An tibi nuncium patris adfert venientis;
" An suum ipsius debitum experens huc venit?
" Ut facio impetu fugax abiit, neque sustinuit,
" Ut cognosceremus : neque enim vulgaris hominis vultum præ se ferebat.
Hunc rursus Telemachus prudens contra alloquutus est,
" Eurymache, certè reditus periit patris mei,
" Neque sanè nuncio ampliùs credo, ficunde veniat :
" Neque vaticinium curo, si quem mater
" Domum vocatum vatem consulat.
" Hospes verò hic meus paternus è Tapho est,
" Mentes Anchiali bellicosi fatetur esse
" Filius; cæterùm Taphiis navigandi studiosis imperat.
Sic ait Telemachus : mente vero immortalem deam cognovit.
Hi autem ad saltationem & amatoriam cantilenam

ΣΧΟΛΙΑ.

404. Ἀποῤῥαίσῃ.] Διαφθερεῖ, ἀπορραίσῃ. Ναιετάουσι.] Οἰκοῦσιν.
405. Ἔρεσθαι.] Ἐρωτῆσαι, πυθέσθαι.
406. Ὁππόθεν.] Πόθεν. Ποίης δ' ἐξ.] Ἐκ ποίας δὲ.
408. Ἀγχιάλοιο.] Ἀπαγχιάλου.
409. Ἐὸν αὐτῆς] Ἑαυτῆς. Χρεῖος.] Χρέος, ὄφλημα. Ἐλαυνόμενος.] Ἐπιθυμῶν. Τόδ' ἱκάνῃ.] Ἐνθάδε παραγίγνεται, ἔλαθεν.
410. Οἷον.] Ἀντὶ τοῦ ὅτως. Ἀναΐξας.] Πορδόμενος. Ἄφαρ.] Ταχέως.
411. Εἰς ὧπα.] Τῷ προσώπῳ. Ἔΐκτην.] Ὅμοιος ἦν.
413. Νόῆσαι.] Ἡ αὐτὴ ἀναδίπλωσις.
415. Θεοπροπίης.] Μαντείας. Ἐμπάζομαι.] Ἀντικαταλέγομαι.
416. Ἐξερέηται.] Ἐρωτήσῃ, πύθηται.
421. Ἱμερόεσσαν.] Ἐπίφορον, καλήν.

NOTÆ.

ob Literam ejusdem soni, non tamen sine Versûs periculo, Sensûsque ipsius jacturâ. *Eustathius* certe in suâ Paraphrasi agnoscit, fol. 1426. lin. 32. Μὴ ᾖ ὄμα ἄλλοι ἀνὴρ, ὃς σε κάκιστα βίῃ κτήματ' ἀποῤῥαίσῃ. Præterea MS. CCC, apertè legit, ὅστις σ' κάκιστα. Quare τὸ σὲ in suum dehinc locum reponimus.

406. Ποίης ἐξ αὔχῃ) Pro Veteri ἐξιύχῃ; Malo separatim legere, ἐξ αὔχεται, ut sit ποίης ἐκ γαίης αὔχεται εἶναι; Ità *Odyss.* υ'. v. 192. τίων δ' ἐξ αὔχῃ εἶναι Ἀνδρῶν. Id certè *Homerus* ipse aliàs facit, *Iliad.* ξ'. v. 472. Ἄξιος' ὃ μὲν μὴ κακὸς εἶδε, καὶ κακῶν ἔξ. Et *Brevia Scholia* ita videntur legisse. Ità *Odyss.* ρ'. v. 130. Pro ἔξεστι, lego, ἐξ εἰσί.

411. Ἔΐκτην) Ab ἔοικα, Duplicato *Attico* Augmento, fit ἐΐκειν, ut ab οἶκα *Ionico*, fit ὦκεν. Unde *Nostis*, Ὡς ἐτύμως θυγάτηρ τῷ πατρὶ παῖδα πεφύκει. Quod Vir quidam Doctus temerè refert ad *Præsens*, factum ex *Præterito*; cui refragatur *Accentus*. De voce ἐΐλπετο, vid. ad φ'. v. 96. De ἐΐγερε, ad δ'. v. 693.

NOTÆ IN SCHOLIA.

410. Ἀναΐξας) Πορδόμενος.) MS. *Aloysii*. 416. Ἐξερέῃται) Ἐρωτήσῃ, πύθηται). Malè olim ἐρωτᾷ). *Aloysii* MS. ἐρωτάσῃ, l. ἐρωτήσῃ.

VARIÆ LECTIONES.

406. Ἐξ αὔχῃ)) γρ. ἐξιύχῃ).
414. Ἀγχιάλης) γρ. Ἀχιλλέως, *Eustath.* ut sit τῆς &c. quod tamen omisit *H. Stephan.*
415. Ἥντινα) γρ. ὅππια, MS. CCC. Tum ad ἱκνεῖται refertur; sin ὅππια, ad ἱκνεομένῳ.

Τρεψάμβοι τέρποιο· μένον δ', ἐπὶ ἕσπερον ἐλθεῖν.
Τοῖσι δὲ τερπομβόισι μέλας ἐπὶ ἕσπερος ἦλθε·
Δὴ τότε κακκείοντες ἔβαν οἶκόνδε ἕκαστος·
Τηλέμαχος δ', ὅθι οἱ θάλαμος περικαλλέος αὐλῆς
Ὑψηλὸς δέδμητο, περισκέπτῳ ἐνὶ χώρῳ,
Ἔνθ' ἕβη εἰς εὐνήν, πολλὰ φρεσὶ μερμηρίζων.
Τῷ δ' ἄρ' ἅμ' αἰθομένας δαΐδας φέρε κέδν' εἰδυῖα
Εὐρύκλει', Ὦπος θυγάτηρ Πεισηνορίδαο·
Τήν ποτε Λαέρτης πείσατο κτεάτεσσιν ἑοῖσιν,
Πρωθήβην ἔτ' ἐοῦσαν, ἑεικοσάβοια δ' ἔδωκεν.
Ἶσα δέ μιν κεδνῇ ἀλόχῳ τίεν ἐν μεγάροισιν·
Εὐνῇ δ' οὔποτ' ἔμικτο, χόλον δ' ἀλέεινε γυναικός·
Ἥ οἱ ἅμ' αἰθομένας δαΐδας φέρε, καί ἑ μάλιστα
Δμωάων φίλεσκε, ἑ ἔτρεφε τυτθὸν ἐοῦσα.
Ὤϊξεν δὲ θύρας θαλάμου πύκα ποιητοῖο·
Ἕζετο δ' ἐν λέκτρῳ, μαλακὸν δ' ἔκδυνε χιτῶνα·
Καὶ τὸν μὲν γρηΐης πυκιμηδέος ἔμβαλε χερσίν.
Ἡ μὲν τὸν πτύξασα ἑ ἀσκήσασα χιτῶνα,
Παρὰ λῶ ἀγκριμάσασα παρ' πηκτῖσι λέχεσσι,

Conversi oblectabantur, expectabantque vesperum adventare
Dum hi igitur oblectabantur, niger vesper supervenit.
Et tunc dormituri ibant domum unusquisque.
Telemachus autem, ubi ipsi thalamus perpulchræ aulæ
Sublimis ædificatus erat, perspicuo, vel *aperto*, in loco,
Illuc ivit ad lectum, multa mente repetens.
Huic simul ardentes faces ferebat pudica sciens
Eurycleæ, Opis filia Pisenoridæ:
Quam olim Laërtes emerat facultatibus suis
Impubem adhuc, preciumque viginti boum dedit.
Perinde autem ipsam ac pudicam uxorem honorabat in ædibus:
Cœtu verò nunquam commixtus est; iram nempè vitabat uxoris.
Hæc illi simul ardentes faces ferebat, & ipsum maximè
Ancillarum amabat, & enutrierat, parvulus cùm esset.
Aperuit autem januas thalami benefactæ;
Sedebátque in lecto, molléque exuit indusium:
Et id quidem aniculæ fedulæ imposuit in manus.
Illa quidem plicato & aprato indusio,
Ad clavum suspenso juxta vermiculatos lectos,

ΣΧΟΛΙΑ.

422. Τριψάμβοι.] Τερπόντες. Ἕσπερον.] Ἀντὶ τοῦ ἑσπέρα, ἑσπερῶ· μετέπεσε τὸ ω εἰς τὸ ο περισπώμενον διὰ τὸ ἑσπέρου εἰς τὸ ἑσπερινὸν διῆκον.

424. Κακκείοντες.] Καθοκοιμησόμενοι.

425. Θάλαμος.] Ὁ κοιτών.

426. Δέδμητο.] Οἰκοδόμητο. Περισκέπτῳ.] Ὑψηλῷ, ὅτι ἐπὶ περισκέψεως· ἢ καθ' ὑπερβολὴν ἐρωμένῳ, ἀδιόρατος. Χώρῳ.] Τόπῳ.

427. Μερμηρίζων.] Διακοσμούμενος, μεριμνῶν, εἰς πολλὰ μέρη διαιρῶν τὸν ψυχήν.

429. Αἰθομένας.] Καιομένας, λαμπούσας. Δαΐδας.] Δᾷδας, λαμπάδας. Κεδνά.] Συνετά, σοφὴ. Εἰδυῖα.] Ἐπισταμένη.

429. Ὦπος.] Περισπαστέον, ἀπὸ τοῦ ἀπέχεσθαι ἀφ' ἑαυτοῦ τὸ ἐφάλμιον. Ὦπος θυγάτηρ.] Εὐρύκλεια.

430. Πρίατο.] Ἠγόρασεν.

431. Πρωθήβην.] Πρώτην ἀκμὴν ἡλικίας ἔχουσαν. Ἑεικοσάβοια.] Εἴκοσι βοῶν ἄξια.

432. Ἶσα.] Ἐτίμα, ὁμοίως. Κεδνῇ.] Τιμίᾳ. Τίεν.] Ἐτίμα.

433. Ἔμικτο.] Ἐμίγη. Ἀλέεινε.] Ἐφυλάσσετο.

435. Φιλέεσκεν.] Ἐφίλει.

436. Ὤϊξεν.] Ἀνέῳξεν. Πύκα ποιητοῖο.] Καλῶς κατεσκευασμένου.

437. Ἔκδυνε.] Ἐξεδύσατο. Λέκτρῳ.] Κοίτῃ.

438. Πυκιμηδέος.] Συνετῆς.

439. Πτύξασα καὶ ἀσκήσασα.] Μετ' ἐπιμελείας διπλώσασα.

440. Τερπτῖσι.] Τορευτοῖς, ἐγκεχαραγμένοις.

NOTÆ.

424. Κακκείοντες) Pro κατακειόντες, ut κακκῦσαι, καθεῦδε, ἀμβαίνω, ἀγκριμάω. pro ἀνακριμάω. v. Odyss λ'. v. 74. pro καθεῦσαι. Sic καββάλλω, κηλ-

VARIÆ LECTIONES.

440. Ἀγκριμάσασα) γρ. ἐγκριμάσασα, *Florentin.* & *Lovaniana* Edit. *Ibid.* Τερπτῖσι λίχεσσι) γρ. τερπνοῖς λιχέσσι.

Εἶπ' ἴμεν ἐκ θαλάμοιο· θύρην δ' ἐπέρυσε κορώνῃ
Ἀργυρέῃ· ἐπὶ δὲ κληῖδ' ἐπάνυσεν ἱμάντι.
Ἔνθ' ὅγε παννύχιος, κεκαλυμμένος οἰὸς ἀώτῳ,
Βάλλεν Φρεσὶν ἧῃσιν ὁδὸν, τὴν πέφραδ' Ἀθήνη.

Festinabat ire ex thalamo; januámque attraxit annulo
Argenteo: insuper autem pessulum obiecit iorn.
Hic ille pernox, tectus ovis floridâ lanâ
Considerabat in animo suo viam, quam ingruncaverat Pallas.

ΣΧΟΛΙΑ.

441. Ἐπέρυσε.] Ἐφειλκύσατο, ἐπισπάσατο. Κορώνῃ.] Τῷ λεγομένῳ κόρακι. Κορώνῃ.] Τῷ ἐπισπάστρῳ τῆ θύρᾳ.

442. Ἐπὶ δὲ κληῖδ' ἐπάνυσεν ἱμάντι.] Τὸ λεγόμενον ἐφ' ἡμῶν κλεῖθρον. δύο δὲ τῶν τοῦ εἶχεν ἱμαντίδας ἐξηρτημένας ἀφ' ἑαυτῶν πήχεων. ἵν' μὲν ἐκ δεξιῶν, ἵν' δὲ ἐξ ἀριστερῶν, εἰς τὸ δύνασθαι ἀνοίγειν καὶ κλείειν. τοῦτ' ἦν τὸ κλεῖθρον παρέτεινε δὲ παρήορα τῷ ἱμάντι.

443. Οἰὸς ἀώτῳ.] Τῷ λαίνῳ γοῦν τῷ μαλλίνῳ τῶν ἐσθῆτι. λέγει δὲ τοῦτ ἐξ ἁπαλῶν ἐρίων μεγίστων ἐκλεκτῶν.

444. Βάλλεν.] Ἐβαλλόμενος. Πέφραδε.] Εἶπεν, ἐσήμαινεν.

NOTÆ IN SCHOLIA.

441. Ἐπέρυσε) Ἐφειλκύσατο. Ità MS. GC. pro ἐφειλκύσατο. Κορώνῃ) Τῷ ἐπισπάστρῳ. Ità ex MS. CCC. ex *Eustathio*, & aliis, pro Corrupto ἐπισπάτῳ. Huc referrem elegans *Scholion* ex MS. CCC. nisi ad verbum sumeretur ex *Eustathio*, fol. 1429. lin. 1. vel potiùs viceversâ; nam hoc MS. pluribus annis *Eustathio* Antiquius, & ipse etiam Archiepiscopus *Theodorus*, à quo certè *Scholia* ejusdem MSti descripta testatur Dr. *Matthæus Parker* Archiep. *Cantuar.* his Verbis, *Manus Commentarii* Græci *est* Theodori *Archiepiscopi*. Et hæc omnia ab *Eustathio*, sunt desumpta, sive ex hoc ipso Codice, sive ex alio transcripta. Quod de totâ illâ *Scholiorum* farragine dicendum, quæ in Nobilis illius *Homeri* MS, cum *Ω. Calabro* adjuncto, margine sunt scripta, in Biblioth. CCC. apud *Cantabrigienses* nostros.

VARIÆ LECTIONES.

441. Ἐπέρυσε) χ. ἐπέρυσε.

ΤΗΣ

ΤΟΥ ΟΜΗΡΟΥ
ΟΔΥΣΣΕΙΑΣ

ΡΑΨΩΔΙΑ, ἢ ΓΡΑΜΜΑ, Β'.

Ὑπόθεσις τῆς ῥαψῳδίας Β.

Συναγορὰ ἐκκλησίας Τηλέμαχος, παραιτήσει τῆς μητρὸς ἰδίους τ' αἰτίας τ' Ὀδυσσέως· λαβὼν ὃ παρὰ τῆ Εὐρυκλείας τὸ σῶς τοῦ ἀπολωλότος ἐπιτίθησι, παρὰ ὃ τ' Ἀθηνᾶς ἐτοίμως τὸ πᾶν, εἰς πλοῦν αἰσιάζει· ἀλίᾳ δύσας.

* Ἄλλη Ὑπόθεσις.

* Ἄλλη Ὑπόθεσις. Ἄμα ἕω Τηλέμαχος, κ.λ.) Hoc Argumentum ex MSto *Gonvillo-Caiensi*.

Ἅμα ἕω Τηλέμαχος, συναγαγὼν εἰς Ἐκκλησίαν τοὺς Ἰθακησίους, κελεύει τ' οἰκείας μητέρας ἀπαλλάττεσθαι· καὶ παῖς αἰτίαται παρ' αὐτῶν, ὅπως εἰς Πύλον καὶ Σπάρτην πορεύθῃ, ἀκουσόμενος. Παρὰ ὃ Νέμεσιν λαβών, καὶ ὀφείλει παρὰ Εὐρυκλείας τ' νεφρῶν, λάθρα τ' μητρὸς ἀπαλλεῖ.

Ἐπιγραφαί.

Ἰθακησίων ἐκκλησία, καὶ Τηλεμάχου ἀποδημία.

Ἄλλως.

Βῆτ' ἀγορὴν ἴχεν, ἦμος ἔην, πλὰν μετ' Ἀθήνης. Lib. II.

Ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος ἠὼς,
Ὦρτο' ἄρ' ἐξ εὐνῆφιν Ὀδυσσῆος φίλος υἱός,
Εἵματα ἑσσάμενος, περὶ δὲ ξίφος ὀξὺ θέτ' ὤμῳ.

Quando verò manè-genita apparuit roseis-digitis aurora,
Surrexit tunc ex lectulo Ulyssis dilectus filius,
Vestes indutus, gladium acutum verò suspendit ab humeris:

Σχόλια.

Ἦμος.] Ἤτοι ὅτε. Ἠριγένεια.] Τὸν ὄρθρον φησὶν, ἢ ἐπὶ τῆ ἕω φησὶ μέρη· ὃ ἐστιν ὄρθρος. Ῥοδοδάκτυλος δὲ, διὰ τ' περιττὴν ἀναπλῆσιν καὶ τὸ χρῶμα τῶν δακτύλων, ἢ ἐπὶ τὸ ἕωθεν τὸ περιττὸν, τῶν ἡμέρων δι' ὑπερβολὴν κεκόσμηκεν. Ῥοδοδάκτυλος.] Ῥοδόχειρ, διὰ μέσης, καλή. Ἠὼς.] Διάφορα σημαίνει. Τῶν τε γὰρ σημαινομένων ἓν, ἀφ' τὸ φαίνειν τ' Πυθικῶν, Ἠὼς δ' ἐκ λιχένων πυρ' ἀγαυὸν Τιθωνοῖο Ὦρινδ', ἵν' ἀθανάτοισι φόως φέροι, καὶ βροτοῖσι. Ἓ τ' ὄρθρον, φασὶν οἱ ῥητορικοὶ κληθῆναι, διὰ τ' ὀρθοῦσθαι ἡμᾶς ἀπὸ τ' κοίτης· καὶ ἐπὶ τὰ οἰκεῖα τρέπεσθαι ἔργα. ὅταν φησὶν, Ἠὼς μὲν ῥοδοδάκτυλος ἐπέβαινε πᾶσαν ἐπ' αἶαν· καὶ τὸ ἀπὸ σχοίνου, μίσχος ἄρας ἕκτης, ἀφέσιμον, ὡς τὸ, Ὄφρα μὲ ἠὼς ἦν, καὶ αἴξετο ἶσον ἦμαρ. καὶ τὸν ὅλον ἡμέρας, καθ' ὃ σημαινόμενον ἡμέρα τοιοῦσι. ὁ ἀπὸ ἀναπλῆς τ' ἡλίου δρόμος, μίσχος δύσεως, ὅπου τὸν ὑπὲρ ἡμᾶς πολίτας φοιτᾷ, ὁ ἡλίου ἐστὶ, τὸ παρ' ἡμᾶς δυσμὰς ἡμισφαίριον, Οἵ ῥ' ἐξ Ἀσκανίης ἐριβώλακος ἦλθον ἀμοιβοί, Ἠοῖ τῇ αὔριον, τότε ἡ Ζεὺς ὦρσε μάχεσθαι, καὶ, Ἤματι τῷ αὔριον, ὅτ' ἡμαρτὸν φαίνομεν. Ἔκτορ. καὶ τὸ συναμφότερον, ἡμέρας τὸ ἓ νύκτας, καθ' ὃ σημαινόμενον καὶ παρὰ τοῖς μαθηματικοῖς κεῖται, Ἠὼς δέ μοι ἐστὶν Ἠδὲ δυωδεκάτη, ὅτ' ἐς Ἴλιον εἰλήλουθα. καὶ τὴν ἡλίου πάροδον, καὶ τ' τόπον, ὅθεν ἀναπέλλει ὁ ἥλιος, καθὰ Ἀρίσταρχος. Ὦ φίλοι, ἢ μάλ' τ' ἰδμεν, ὅτι ζόφος, οὐδ' ὅτι ἠώς, Οὐδ' ὅτι ἠέλιος φαεσίμβροτος εἶσ' ὑπὸ γαῖαν, Οὐδ' ὅτι πνοιή. τὸ γὰρ, καθὰ φησὶν ὁ Κράτης, τὰ πρὸς ἄρκτον τοῦ κόσμου μέρη, Ἄρκτος, μεσημβρία, ἀναπλὴς, δύσις, ἀπὸ ἀκτίνων ἐξ ἀνατολῆς αἴτιον. ἡ μὲν ἄρκτος, τῇ μεσημβρίᾳ· ἡ δὲ ἀναπλὴ, τῇ δύσει.

2. Ἐξ εὐνῆφιν.] Ἐκ τ' κοίτης.

3. Ἐσσάμενος.] Ἐνδυσάμενος. Θέτο.] Περιέθετο.

NOTÆ IN SCHOLIA.

V. 1. Ἦμος δ' ἠριγένεια) Huc referatur illud *Merici Casauboni*, De Nuperâ *Homeri* Editione, Dis-

Πρὸς

Ποσὶ δ' ὑπὸ λιπαροῖσιν ἐδήσατο καλὰ πέδιλα·
Βῆ δ' ἴμεν ἐκ θαλάμοιο θεὸς ὀπαλίγκιος ἄντην,
Αἶψα δ' ἄρ' ἠγορόωσι λιγυφθόγγοισι κέλευστε
Κηρύσσειν ἀγορηνδε κομόωντας Ἀχαιούς·
Οἱ μὲν ἐκήρυσσον, τοὶ δ' ἠγείροντο μάλ' ὦκα.
Αὐτὰρ ἐπεί ῥ' ἤγερθεν, ἐμηγερέες τ' ἐγένοντο,
Βῆ ῥ' ἴμεν εἰς ἀγορήν, παλάμῃ δ' ἔχε χάλκεον ἔγχος,
Οὐκ οἷος· ἅμα τῷγε δύω κύνες ἀργοὶ ἕποντο·
Θεσπεσίην δ' ἄρα τῷγε χάριν κατέχυτο Ἀθήνη.
Τὸν δ' ἄρα πάντες λαοὶ ἐπερχόμενον θηεῦντο.
Ἕζετο δ' ἐν πατρὸς θώκῳ, εἶξαν δ' γέροντες.
Τοῖσι δ' ἔπειθ' ἥρως Αἰγύπτιος ἦρχ' ἀγορεύειν,
Ὃς δὴ γήραϊ κυρτὸς ἦεν, καὶ μυρία ᾔδη.
Καὶ γὰρ ὁ Φίλος υἱὸς ἅμ' ἀντιθέῳ Ὀδυσῆϊ
Ἴλιον εἰς εὐπωλον ἔβη κοίλῃς ἐνὶ νηυσίν,
Ἀντίφῳ αἰχμητής· τὸν δ' ἄγριος ἔκτανε Κύκλωψ
Ἐν σπῇϊ γλαφυρῷ· πύματον δ' ἀπλίσατο δόρπον.

Pedibusque nitidis alligavit pulchra calceamenta;
Festinabatque ire è cubiculo deo similis coram.
Continuò autem præconibus canoris imperavit
Convocare ad concionem comatos Achæos.
Hi quidem convocârunt: illi autem congregabantur valdè celeriter.
Porrò postquam congregati sunt, confertimque adiuerunt,
Ivit utique ad concionem, manu autem tenebat ferream hastam,
Non solus, simul eum duo canes veloces sequebantur.
Divinam certè huic gratiam perfudit Pallas:
Hunc sanè omnes populi advenientem admirabantur.
Sedebat verò in patris sellâ; cesserunt autem senes.
His tandem heros Ægyptius cœpit concionari,
Qui ob senectutem incurvus erat & plurima sciebat.
Atqui hujus dilectus filius cum divino Ulyssè
Ad Ilium pulchros-equos-nutriens, conscenderat cavis in navibus,
Antiphus bellator: illum verò sævus interfecit Cyclops
In spelunca cavâ; ultimamque paravit cœnam.

ΣΧΟΛΙΑ.

10. Παλάμῃ δ' ἔχε χάλκεον ἔγχος.] Ἀντὶ σκήπτρου, τὸ δίχυ κατέχει, ὡς ὁ συγχωρήσαντος εἶναι βασιλεύς.

11. Κύνες ἀργοί.] Ἀπὸ συνηθείας, ἢ ἀσφαλείας χάριν. Ἀργοί.] Λευκοί, ἢ ταχεῖς.

12. Θεσπεσίην.] Θείαν, θαυμασήν. Κατέχυτο.] Κατῆρε, κατέβαλεν.

13. Θηεῦντο.] Θεωρῶντες ἐπαύριζον.

14. Θώκῳ.] Τοῦτον οἱ Ἀττικοὶ βῆμα λέγουσι. ἔστι δὲ καθέδρα. Εἶξαν.] Ὑπεχώρησαν.

15. Αἰγύπτιος.] Ὄνομα κύριον.

16. Κυφός.] Κεκυφὼς, κεκυρτωμένος. Ἤδη.] Ἠπίστατο.

18. Εὐπωλον.] Καλοῖς ἵπποις χαιρόντα· ἢ ὅτι γε καλῶς ἀναστρέφειν ἴσχει.

20. Πύματον δ' ἀπλίσατο δόρπον.] Ἤτοι τὸ ὀπτὸν ἴσχατον· ἢ ἐπιφωνεῖν τοῦτο εἰρηκεν, ὅτι πέμπτον καὶ ἴσχατον ἔπιε.

NOTÆ.

V. 4. Ποσὶ δ' ὑπὸ λιπαροῖσιν) *Ultima* Υ ὑπὸ producitur, in *Cæsurâ*, vi *Toni* sui, & ante λ'. ἐκθλιπτόν. Aliis potuit & ὑποὶ legi, ut in *Iliade*.

11. Οὐκ οἷος· ἅμα τῷγε δύω κύνες) *Ultima* Υ οἷος producitur, in *Cæsurâ*, vi *Finalis* αὐτοδυνάμου, σ', & ante *Asperum* cum *Acuto*.

20. Ὠπλίσατο) Ità MSS. CCC. Vid. Not. in *Textum*, ad α'. v. 323.

NOTÆ IN SCHOLIA.

10. Παλάμῃ δ' ἔχε χάλκεον ἔγχος) Hoc *Scholion* ex MSS. prælectis emendavi; excepto, quòd *Aloysii* MS. habeat, Ἐπὶ φασὶν τῶν εὖ ἔχει). MS. GC. ἐπιφορήσιν τῶν εὖ ἔχειν, ὅτιπερ πένεσθαι καὶ ἴσχειν· διὰ τὸ τιμᾶσθαι αὐτὸν ὑπὸ Ὀδυσσέως· ἀεὶ γὰρ Κύκλωψ ἴσθιε, συναπτόμενον τῇ φωνῇ καὶ τὸ ζῆν, ὡς καὶ λέγεται. Codices *Impressi* ἐπιφορήσιον, ex quibus omnibus, ἐπιφωνεῖν formavi; & *Æschyli* quoque Versum plenum exhibeo.

10. Παλάμῃ δ' ἔχε χάλκεον ἔγχος.] Ἀντὶ σκήπτρου, τὸ δίχυ κατέχει, ὡς ὁ συγχωρήσαντος εἶναι βασιλεύς.

11. Κύνες ἀργοί.] Ἀπὸ συνηθείας, ἢ ἀσφαλείας χάριν. Ἀργοί.] Λευκοί, ἢ ταχεῖς.

12. Θεσπεσίην.] Θείαν, θαυμασήν. Κατέχυτο.] Κατῆρε, κατέβαλεν.

13. Θηεῦντο.] Θεωρῶντες ἐπαύριζον.

14. Θώκῳ.] Τοῦτον οἱ Ἀττικοὶ βῆμα λέγουσι. ἔστι δὲ καθέδρα. Εἶξαν.] Ὑπεχώρησαν.

15. Αἰγύπτιος.] Ὄνομα κύριον.

16. Κυφός.] Κεκυφὼς, κεκυρτωμένος. Ἤδη.] Ἠπίστατο.

18. Εὐπωλον.] Καλοῖς ἵπποις χαιρόντα· ἢ ὅτι γε καλῶς ἀναστρέφειν ἴσχει.

20. Πύματον δ' ἀπλίσατο δόρπον.] Ἤτοι τὸ ὀπτὸν ἴσχατον· ἢ ἐπιφωνεῖν τοῦτο εἰρηκεν, ὅτιπερ πέμπτον καὶ ἴσχατον ἔπιε.

ferat. 1. p. 45. &c. Cui tamen condonemus immeritam illam suspicionem, quam ceperat, *In prioribus versibus aliquid Desiderari ad explendam sententiam*. Omnia enim nunc plena, plana & aperta sunt, ut Nos distinximus, & *Aloysianum* MS. mecum concordat. Ubi χαιρόντα pro χαιρούσης, lego, & illud. & MS. *Gonvillo-Caiensi* consentiunt. De cæteris, nihil mutavi, nisi quòd semper Versuum Initia Literis majusculis scribenda curaverim, & post Διάστημα, Voculas, ὡς τὸ, ex MS. CCC. addiderim. Ad locum de *Aristarcho*, in hoc *Scholio*, confer quæ *Casaubon.* in *Strabon.* l. x. fol. 698.

VARIÆ LECTIONES.

V. 4. Ὑπὸ) γρ. ὑποὶ. Vid. Not. in *Textum*.

20. Ὠπλίσατο) γρ. ἀπλίσατο, Vid. Not. in *Text*.

Τρεῖς

Τρεῖς δέ οἱ ἄλλοι ἔσαν· ἡ ὁ μὲν μνηστῆρσιν ὁμίλει
Εὐρύνομος, δύο δ' αἰεν ἔχον παρὰ πατρὸς ἔργα·
Ἀλλ' οὐδ' ὡς τοῦ λήθετ' ὀδυρόμενος καὶ ἀχεύων·
Τοῖσιν ὄγε δακρυόεσσαν ἀγορήσατο καὶ μετέειπεν,
Κέκλυτε δὴ νῦν μευ, Ἰθακήσιοι, ὅ, τι κέν εἴπω,
Οὐδέ ποθ' ἡμετέρη ἀγορὴ γένετ', οὐδὲ θέμιστες,
Ἐξ οὗ δ' Ὀδυσεὺς δῖος ἔβη κοίλης ἐπὶ νηυσί·
Νῦν δ' ἧς τίς ὧδ' ἤγειρε; τίνα χρειὼ τόσον ἵκει,
Ἠὲ νέων ἀνδρῶν, ἢ οἱ παραγενέστεροί εἰσιν;
Ἠέ τιν' ἀγγελίην πρατοῦ ἔκλυεν ἐρχομένοιο,
Ἥν χ' ἡμῖν σάφα εἴπῃ, ὅτε πρότερός γε πύθοιτο;
Ἠέ τι δήμιον ἄλλο πιφαύσκεται, ἠδ' ἀγορεύει;
Ἐσθλός μοι δοκεῖ εἶναι, ὀνήμενος· εἴθε οἱ αὐτῷ
Ζεὺς ἀγαθὸν τελέσειεν, ὅ, τι φρεσὶν ἧσι μενοινᾷ.
Ὡς φάτο· χαῖρε δὲ φήμῃ Ὀδυσσῆος φίλος υἱός,
Οὐδ' ἄρ' ἔτι δὴν ἧστο, μενοίνησεν δ' ἀγορεύειν·
Στῆ δὲ μέσῃ ἀγορῇ· σκῆπτρον δέ οἱ ἔμβαλε χειρὶ
Κήρυξ Πεισήνωρ, πεπνυμένα μήδεα εἰδώς.
Πρῶτον ἔπειτα γέροντι καταπρόμολων προσέειπεν,

Tres autem illi alii erant: & unus inter procos versabatur
Eurynomus; duo autem perpetuò habebant paterna opera:
Sed neque sic illius oblitus erat lugens & dolens:
Hos lachrymans alloquutus est, & dixit,
" Audite sanè nunc me, Ithacenses, quodcunque dixero;
" Nunquam nostrum concilium ratum est, neque consessus,
" Ex quo Ulysses divinus abiit cavis in navibus:
" Nunc autem quis huc congregavit? quem necessitas tantùm urget?
" Sive ex junioribus viris, aut qui seniores sunt?
" An aliquem nuncium exercitûs audivit venientis,
" Quem nobis palàm dicere queat, quùm prior audiverit?
" An quippiam publicum aliud declarat, aut profert?
" Probus mihi videtur esse, juvans, vel *felix*: utinam illi ipsi
" Jupiter benè vertat, quæcunque mente suâ cogitat.
Sic ait: gaudebat autem ob omen Ulyssis charus filius,
Neque amplius diù sedit, cupiebat enim concionari.
Stabat itaque in mediâ concione; sceptrumque ei imposuit manu
Præco Pisenor, prudentia consilia edoctus.
Primùm tandem ad senem conversus loquutus est,

ΣΧΟΛΙΑ.

τον. Ἀλλὰ τὸ πιμπρήσιμι αὐτὸν ὑπὸ Ὀδυσέως ἢ σύμμαθον ἔτι ἐξ ἧς ἢ λίπτου πύματον, ὁπόταν ἦλ Κύκλωψ ἔφαγε, συναποβαλὼν τῷ φωτὶ καὶ τὸ ζῆν, ὡς νῦν λέγεται. Δόρπου.] Τὸ καθ' ἡμᾶς δεῖπνον. τινὲς δὲ τροφῶς ἐχρῶντο. καὶ τὴν μὲ σχοίνῳ ὑπάλλαν ἄρασθαι. ἵνα ἐλαμβάνον πρωΐας· χιόνι ἔπ σκοπιᾶς ὕσης. ἐ ἀνεμώδη ἄρασθαι. ἢ παρὰ τὸ λαμπάσιον ἵνα αὐτὰς εἰς τὸν ἀριστέαν παρέρχεσθαι. ἢ λέγει δ' ἀπροσφιλῶς τοῦτον σχοίνῳ τὸν τροφόν. παρὰ τὸ Ἄνερ, ἀνομασμένης δ' λίξεως, Μή μοι οἶνον ἄνερι μιλίφρονα, πότνια μῆτερ. τὸν δυσέρατον, δεῖπνον, μετ' ὀ ἔδει πενεῖν, ὅσῳ ἦσι σύριγξ· λαμβάνοντες ἦ τοῦτον τὸν τροφόν, πάλιν ἀπὸ τὰ πολιτικὰ ἔργα ἐτοίμων. τὸν δ τελεῖν δόρπου, τὸ καθ' ἡμᾶς λεγόμενον δεῖπνον, ἐ ἐστὶ καὶ τὸ ἔτυμον, ἑαυτόρπου, ὅταν εἰς τὸ ἑαυτὸ παρδαίμεθα· ὅ ἐστὶ κοιμᾶσθαι. Αἰχμάλ ἢ κ' τ' πάξιος δ' ἀνεμώδων μαρτυρεῖ ἐστὶ λέγων, Ἄφαρ, δεῖπνα, δόρπα θ' αἱρεῖσθαι, τέλα.

21. Ὁμιλή.] Συναναστρέφετο.

22. Ἔσαν.] Εἶχον, κρατοῦσι. Ἔργα.] Τὰ γεώργια.

26. Θέμιστες.] Συνέδρια.

28. Ἤγειρε.] Συνήθροισεν, παρώρμησεν. Ἵκῃ.] Ἀφικνεῖται.

29. Προβλήτερος.] Πρεσβύτερος.

30. Στρατὸν ἔκλυεν.] Ἤτοι πολεμίων, ἢ δ μετ' Ὀδυσσέως.

31. Ὅτι.] Ἤτοι. Πρότερος.] Πρῶτος.

32. Δήμιον.] Δημόσιον. Πιφαύσκεται.] Προσημαίνει.

33. Ὀνήμενος.] Ὀνησιν ἑαυτῷ λαβών, λείπει τὸ εἶη· ὀνήμενος εἴη.

34. Μενοινᾷ.] Καθ' ὑπόθεσιν εὐχομένου.

35. Φήμῃ.] Τῇ κληδόνι.

36. Μενοίνησε.] Περιεθυμήθη.

39. Καθαπτόμενος.] Ἤτοι τὸν λόγον πρὸς αὐτὸν πεποιούμενος, ἀμειβόμενος, ἀποτεινόμενος, ἢ καθαπτόμενος καὶ ἐπιπλήττων.

NOTÆ.

25. Κέκλυτε δὴ νῦν μευ) Vocula μευ excidérat *Elzeviriana* Edit. ut multæ aliæ.

28. Τίνα χρειὼ τόσον ἵκει) Vid. ad α'. v. 225.

NOTÆ IN SCHOLIA.

22. Ἔργα) Τὰ γεώργια, MS. GC.

VARIÆ LECTIONES.

28. Ἵκει) ἧκε, ἵκει, Vid. Not. in *Textum* ad α'. v. 225.

Ὡ

Ὦ γέρον, οὐχ ἑκὰς ὅπτος ἀνὴρ, τάχα δ' εἴσεται αὐτὸς,
Ὅς λαὸν ἤγειρα· μάλιστα δέ μ' ἄλγος ἱκάνει.
Οὔτε πὶν ἀγγελίην φρατὴν ἔκλυον ἐρχομένοιο,
Ἤ χ' ὑμῖν σάφα εἶπω, ὅτε πρότερός γε πυθοίμην,
Οὔτε τι δήμιον ἄλλο πιφαύσκομαι, οὐδ' ἀγορεύω·
Ἀλλ' ἐμὸν αὐτῆς χρεῖος, ὅ μοι κακὸν ἔμπεσεν οἴκῳ,
Δοιά· τὸ μὲν, πατέρ' ἐσθλὸν ἀπώλεσα, ὅς πρίν γ' ἐν ὑμῖν
Τοῖσδεσσιν βασίλευε, πατὴρ δ' ὡς ἤπιος ἦεν.
Νῦν δ' αὖ κεῖ πολὺ μεῖζον, ὃ δὴ τάχα οἶκον ἅπαντα
Πάγχυ διαρράισαι, βίοτον δ' ἀπὸ πάμπαν ἐλέσθαι.
Μητέρι μοὶ μνηστῆρες ἐπέχρασαν οὐκ ἐθελούσῃ,
Τῶν ἀνδρῶν φίλοι υἱες, οἱ ἔνθάδε γ' εἰσὶν ἄριστοι.
Οἱ πατρὸς μὲν ἐς οἶκον ἀπερρίζασι νέεσθαι
Ἰκαρίου, ὥς κ' αὐτὸς ἑοῖσι δώμασι δαλέα,
Δοίη δ', ᾧ κ' ἐθέλῃσι, καὶ οἱ χαριζομένῳ ἔλθοι·
Οἱ δ' εἰς ἡμέτερον πολυβήμονες ἤματα πάντα,
Βοῦς ἱερεύοντες, καὶ ὄις, καὶ πίονας αἶγας,
Εἰλαπινάζουσιν, πίνουσί τε αἴθοπα οἶνον
Μαψιδίως· τὰ γὰρ πολλὰ κατάνεται· οὐ γὰρ ἔπ' ἀνὴρ,

" O ſenex, non procul abeſt ille vir, (mature autem ipſe cognoſces)
" Qui populum congregavit; potiſſimum enim me dolor urget,
" Neque ullum nuncium exercitûs audivi venientis,
" Quem vobis palàm enarrem, quàm prior audiverim:
" Neque quicquam publici aliud profero, neque dico;
" Sed meum ipſius negocium, nam malum in domum incidit
" Duplex: alterum, quòd patrem eximium perdidi, qui quondam inter vos
" Ipſos imperabat; Paterque velut mitis erat.
" Nunc autem longè maius, quòd mox citò domum univerſam
" Funditus everſet, facultates autem omnino diſperdet.
" Matri meæ proci inſtant nolenti,
" Eorum virorum chari filii, qui hic utique ſunt optimi;
" Qui patris quidem in domum nolunt proficiſci
" Icarii, ut ipſe utique dotet filiam:
" Det verò cui voluerit, & qui ipſi gratus venerit
" Illi verò in noſtram *domum* divertentes diebus omnibus
" Boves mactantes, & oves, & pingues capras,
" Splendidè convivantur, bibúntque generoſum vinum
" Temerè: plurima verò abſumuntur; non enim adeſt vir,

Σ Χ Ο Λ Ι Α.

40. Εἴσεται.] Μαθήσῃ.
42. Ἔκλυον.] Ἤκουσα.
43. Πυθοίμην.] Ἀκούσω.
44. Πιφαύσκομαι.] Πορεύομαι, σπουδάζω.
45. Ὅ μοι κακὸν ἔμπεσεν οἴκῳ.] Μεῖζόν τοῦτο ὑποστιτίου.
46. Δοιά.] Δύο, ἢ διχᾶ.
47. Τοῖσδεσσιν.] Ἐν τούτοις.
49. Διαρράισαι.] Διαφθεῖραι. Ὀλέσθαι.] Ἀπολέσαι.
50. Ἐπέχρασαν.] Μεῖζον βλάβης ἢ ἐπιφορᾶς ἐπῆλθον.
52. Ἀπερρίζασι.] Διέβασι, φοβοῦνται, διδίασιν.
53. Ἐοῖσι δώμασι.] Ἐοῖς ἐπαύλοις. ἢ κυρίως μὲν ἔδνα δίδοται τοῖς γαμουμένοις τῇ γαμουμένῃ. νῦν δὲ καταχρηστικῶς κεῖται ἡ λέξις. ἀντὶ δὲ χρήματα ἐπιδίδη.
54. Ὧι.] Ὧι ἄν. Κεχαρισμένος.] Προσφιλὴς, ἡδύς.
55. Πολυβήμονες.] Πλειστόμισθοι, ἀναλισκόμενοι. Ἤματα πάντα.] Πάντα τὰ χρόνου.
56. Ἱερεύοντες.] Θύοντες. Οἶς.] Πρόβατα. Πίονας.] Λιπαρᾶς.
57. Εἰλαπινάζουσι.] Ἐν ἀθροίσμασὶ συνεχῶντας, ἑορτάζουσι.
58. Μαψιδίως.] Ματαίως. Κατάνηται.] Καταναλίσκηται.

NOTÆ.

41. Ὅς λαὸν ἤγειρα) *Jambus* in *ſecundo* loco; ſanatur tamen hîc Syllaba brevis, in *Cæſurâ*, vi *Liquidæ* ρ'. etiam cum *Tono*.

47. Τοῖσδεσσιν βασίλευε, πατὴρ δ' ὡς ἤπιος ἦεν) Hunc locum explicat *Tho. Gataker* ad *M. Antonin.* l. 1. p. 15. §. 9. Οἷον δὲ παροιμιώδη κλ. *Hemiſtichium* poſterius infrà occurrit, v. 234. & ſ'. v. 12.

58. Τὰ γὰρ πολλὰ κατάνηται) Ἄνομαι, *Primâ* productâ, pro ἀναλίσκομαι. Idem Verſus occurrit, *Odyſſ* ε'. v. 537. ubi *Elzevir.* malè καταίνυ. *Heſych.* Καθάνυ) Καταίνυται, ἀναλίσκεται. *Iliad.* κ'. v. 251. Ἀλλ' ἴομεν· μάλα γὰρ νὺξ ἄνεται, ἐγγὺς δὲ ἦώς. *Heſych. Etymolog. M.* v. Ἄνυ). *Apollon.* Argon aut. l. 2. ——— νέον ἤματος ἄνυσιν. *Odyſſ.* γ'. v. 496. Ἦιον ἀνύων.

VARIÆ LECTIONES.

40. Τάχα) γρ. μάλα Edit. *Florentin.*

54. Δοίη δ' ᾧ κ' ἐθέλῃσι, καὶ οἱ χαριζομένῳ ἔλθοι) γρ. Δώῃ δ' ᾧ κ' ἐθέλῃ. καὶ ὃς οἱ χαριζόμενος ἔλθῃ, MS. CCC.

57. Εἰλαπινάζουσι) γρ. ἑλαπινάζουσι. MS. GC. τὸ ν'. assumit.

Οἷος

Οἷος Ὀδυσσεὺς ἔσχεν, ἀρὴν ἀπὸ οἴκου ἀμῦναι·
Ἡμεῖς δ' ἤ κύπ τοῖοι ἀμυνέμεν· ἦ κε ἔπειτα
Λευγαλέοι τ' ἐσόμεσθα, καὶ ἠδαήκητες ἀλκήν·
Ἦ τ' ἂν ἀμυναίμην, εἴ μοι δύναμίς γε παρείη.
Οὐ γὰρ ἔτ' ἀνεκτὰ ἔργα τελεύσεται, ἀλλ' ἔπι καλῶς
Οἴκῳ ἐμῷ διόλωλε· νεμεσσήθητέ καὶ αὐτοί,
Ἄλλους τ' αἰδέσθητε περικτίονας ἀνθρώπους,
Οἳ περιναιετάουσι· θεῶν δ' ὑποδείσατε μῆνιν,
Μήπ μετατρέψωσιν ἀγασσάμενοι κακὰ ἔργα.
Λίσσομαι ὑμὰς Ζηνὸς Ὀλυμπίου, ἠδὲ Θέμιστος,
Ἥτ' ἀνδρῶν ἀγορὰς ὑμὰς λύει, ἠδὲ καθίζει,
Σχέσθε, φίλοι, καί μ' οἶον ἐάσατε πένθεϊ λυγρῷ
Τείρεσθ'· εἴ πού π πατὴρ ἐμὸς ἐσθλὸς Ὀδυσσεὺς
Δυσμενέεσσι κάκ' ἔρεξεν ἐϋκνήμιδας Ἀχαιούς·

" Qualis Ulyſſes erat, qui detrimentum à domo arceat:
" Nos verò neutiquam pares ſumus reſiſtendo: quinetiam
" Imbelleſque ſumus, & neque periti roboris:
" Omninò ſanè reſtitiſſem, ſi mihi vis adeſſet.
" Non enim jam tolerabilia facinora patrantur, neque honeſtè
" Domus mea perit: indignemini & ipſi,
" Aliosque revereamini vicinos homines,
" Qui circùm habitant: deorum verò timete iram,
" Ne quid immutent inteſti malis facinoribus.
" Oro ſive per Jovem Olympium, ſive Themidem,
" Quæ hominum concilia tam dimittit, quam cogit,
" Abſtinete, amici, & me ſolum ſinite dolore moleſto
" Affligi: ſiquid uſpiam pater meus probus Ulyſſes
" Hoſtili animo malis affecit fortes Achivos;

Σ Χ Ο Λ Ι Α.

60. Ἦ κύπ ἴσκω.] Ὅτιος γὰρ ἂν μὴ τὸ ἐπιχειρῇ.

61. Λευγαλέοι.] Ἀσθενεῖς. ἀδύναβοι. Διδαηκότες.] Εἰδότες, μεμαθηκότες. Ἀλκήν.] Τὸν τρόπον τ' βοηθείας, δύναμιν.

62. Ἀμυναίμην.] Ἀντὶ τ, ἀμυνάμην.

63. Ἀνεκτὰ.] Ἀναχιτὰ, ὑπομενητικά. Τετεύξεται.] Κατεσκευασμένα ἔσται.

64. Διόλωλε.] Διεφθάρη, ἀπόλετο. Νεμεσσήθητε.] Μεμφετὸν ἡγήσασθε.

65. Περικτίονας.] Τὰς περιοικίδας.

66. Ναιετάουσι.] Οἰκοῦσιν. Ὑποδείσατε.] Φοβήθητε.

67. Μετατρέψωσι.] Μεταβάλωσιν. Ἀγασσάμενοι.] Χολωθέντες.

68. Θέμιστος.] Αἰολικῶς τ Θέμιδος.

69. Ἥτ' ἀνδρῶν ἀγορὰς.] Τινὲς ἐξήγησαν εἰς τὰς ἐκκλησίας εἰσφερούσας Θέμιδος ἄγαλμα.

70. Σχέσθε.] Βοηθήσατε. τὸ γὰρ φίλοι ἀνάφορον κατὰ τ μετωπήρη, ἵνα ᾖ λέγηται.

71. Τείρεσθ'.] Καθυποπίπτεσθαι.

72. Δυσμενέεσσιν.] Ἐχθροῖσιν. Κακὰ ἔρεξεν.] Ἐκακοποίησεν.

N O T Æ.

62. Ἦ τ' ἂν ἀμυναίμην, εἴ μοι δύναμίς γε παρείη) Idem ferè *Iliad. χ'.* v. 20. Ἦ σ' ἂν πεπαίμην, εἴ μοι δύναμίς γε παρείη.

65. Ἄλλους τ' αἰδέσθητε) Vid. *Scholiaſt. Thucydid. Hudſon.* Edit. fol. 207. §. 104.

67. Μήπ μετατρέψωσιν ἀγασσάμενοι) Ità *Iliad. γ'.* v. 181. Ὡς φάτο· τὸν δ' ὁ γέρων ἠγάσσατο φωνήσάντα. Vid. ad *α'.* v. 205. & 323. item *κ'.* v. 249.

71. Τείρεσθ' εἴ πού πατὴρ ἐμὸς) Ità Codex *Cantabr.* & *Caſtellion.* in Margine legit, quam *Veram* eſſe *Lectionem* ſuadet Ratio. Hic enim Senſus loci; *Sinite me ſolum cum meis Miſeriis colluctari. Sicubi forte Pater meus Vos injuriis affecerit, ea propter Me Vos opprimite, vindictam ſumentes.* Sciebat autem, quod *Ulyſſes* iis ſemper—πατὴρ ἂς, ἔπιθ- ἦν. Quare μὴ. ante πω. malè irrepſit, Senſum enim turbat & Verſum mirificè lædit. Nam *Florentina, Lovaniana, Caſtelliana, Hervagiana,* Τείρεσθ', εἰ μή πω. At *Romana* & *Stephaniana,* Τείρεσθ', εἰ μή πού π. ut Verſui nempè conſulatur; nè aliâ *Lectione* indicatâ. Verùm ut *Prioris* Lectionis falſitatem evincam, Advertite, Εἰ μή πω πατὴρ ἐμὸς ἐκάκωσεν ὑμᾶς. Ἐ ὑμεῖς ἐκεῖν τάτων ἐμὲ κακὰ ῥίζητε, quo nihil ineptius.

NOTÆ IN SCHOLIA.

70. Φίλοι, lego pro φίλοι, nec tamen ſine MSStorum auctoritate, *Aloyſiani* & *GC.* nequid de *Textu* dicam.

Variæ Lectiones.

63. Ἀνεκτὰ) γρ. ἀ᾽ ἀνεκτὰ, *Lovan.* Edit.

67. Ἀγασσάμενοι) γρ. ἀγασσάμενον. Vid. Not. in *Textum.*

70. Ἐάσατε) γρ. ἐάσατε. Verùm ob *Metrum* duplicanda Litera σ'.

71. Τείρεσθ εἴπου ἐ) γρ. Τείρεσθ, εἰ μή πω π & τείρεσθ', εἰ μή πού π. Vid. Not. ad *Textum.*

Τῶν

Τῶν μ' ὀπτιπύμφοι κακὰ ῥέζετε δυσμενέοντες,
Τύτθυς ὀπυίοντες· ἐμοὶ δέ κε κέρδιον εἴη,
Ὑμέας ἐσθέμμεν κειμήλιά τε, πεφάσίν τε·
Εἰ χ' ὑμεῖς γε φάγοιτε, τάχ' ἄν ποτε καὶ τίσις εἴη.
Τόφρα γὰρ ἂν κτ' ἄστυ περιπλανοίμεθα μύθῳ,
Χρήματ' ἀπαιτίζοντες, ἕως κ' ἀπὸ πάντα δοθείη·
Νῦν δέ μοι ἀπρήκτους ὀδύνας ἐμβάλλετε θυμῷ.
Ὣς φάτο χωόμενος, ποτὶ δὲ σκῆπτρον βάλε γαίῃ,
Δάκρυ' ἀνασπάσας· οἶκτος δ' ἔλε λαὸν ἅπαντα.
Ἔνθ' ἄλλοι μὲν πάντες ἀκὴν ἔσαν, οὔτε τις ἔτλη
Τηλέμαχον μύθοισιν ἀμείψασθαι χαλεποῖσιν·
Ἀντίνοος δέ μιν οἷος ἀμειβόμενος προσέειπεν,
Τηλέμαχ' ὑψαγόρη, μύθος ἄσχετε, ποῖον ἔειπες,
Ἡμέας αἰσχύνων; ἐθέλεις δέ κε μῶμον ἀνάψαι.
Σοὶ δ' οὔτι μνηστῆρες Ἀχαιῶν αἴτιοί εἰσιν,
Ἀλλὰ Φίλη μήτηρ, ἣ τοι πέρι κέρδεα οἶδεν·
Ἤδη γὰρ τρίτον ἐστὶν ἔτος, τάχα δ' εἰσὶ τέταρτον,
Ἐξ οὗ ἀτέμβει θυμὸν ἐνὶ φρεσὶν Ἀχαιῶν·

" Eorum tum me vindictam capientes
male afficite hostili animo,
" Istos incitantes: mihi verò fatius
esset,
" Vos absumere, quicquid pretiosi est
in ædibus, & proventum:
" Quòd si vos comederitis, fortassis o-
lim etiam retributio fuerit.
" Tam diù enim per urbem prehen-
siremus colloquio,
" Bona repetentes, donec omnia per-
soluta sint:
" Nunc verò mihi irremediabiles do-
lores injecistis animo.
Sic ait iratus, ceptum autem projecit
in terram,
Lachrymas distillans: commiseratio
adeò cepit populum omnem.
Tunc alii quidem omnes tacti erant,
neque quisquam audebat
Telemacho verbis respondere moles-
tis:
Antinous verò ipsum solus respondens
alloquutus est,
" Telemache altiloque, animo indo-
mite, ut loquutus es,
" Nos dedecorans? vis utique nobis
maculam inurere.
" Tibi verò neutiquam proci Achæo-
rum in causâ sunt,
" Sed tua mater; quæ sanè imprimis
versutias callet:
" Jam enim tertius est annus, statim-
que aderit quartus,
" Ex quo eludit animum intra præ-
cordia Achæorum:

ΣΧΟΛΙΑ.

73. Τῶν.] Ὑπὲρ ὧν. Ἀποπτύμενοι.] Τιμωρέμενοι. Ῥίζετε.] Πράττετε. Δυσμενέοντες.] Δυσχεραίνοντες, ἀχθόμενοι ἀφικόμενοι.

74. Ὀπυίοντες.] Παρεξύοντες, διεγείροντες.

75. Πεφάσθαι.] Πεφᾶσθαι, ἀπὸ τοῦ φᾶσθαι ἐκ τούτου τοῦ ἐπικ. Πεφάσθαι.] Τοῦ πᾶν τετραπόδων κῆπον.

76. Τίσις.] Ἀπόδοσις.

77. Περιπλανοίμεθα.] Περιπηζοίμεθα, παραβάλλοιμεν, ἢ ἀχθέσει χαιρίμεθα.

78. Ἀπαιτίζοντες.] Ἀκαιρεῖτε. Ἕως.] Μέχρις ὅτε.

79. Ἀπρήκτους.] Ἀκρατεῖς.

81. Δάκρυ ἀνασπάσας.] Δακρύων τοῦτο ἀφαιρέμενος. Οἶκτος.] Ὀδυρμὸς, λύπη.

82. Ἀκὴν ἔσαν.] Ἥσυχοι ἦσαν, ἐσιώπων.

84. Ἀμειβόμενος.] Ἐξ ἀμοιβῆς ἀντικαταλαμβάνων.

85. Ὑψαγόρη.] Μεγαλορήμων. Μῶμος ἄχεο.] Ἀκατάσχετε τῇ ἐνεργείᾳ· αἰσχυντῶν, ἀδύνατε.

86. Μῶμον.] Ψόγον. Ἀνάψαι.] Περιποιῆσαι, προσλαβεῖν.

88. Κέρδεα.] Δόλους, πανουργίας, ἢ συνέσεις.

89. Εἶσι τέταρτον.] Ἐλεύσεται.

90. Ἀτέμβει.] Σπείρει, ἀφαιρεῖται.

NOTÆ.

75. Κειμήλιά τε, πεφάσθαί τε) *Hesych.* Πεφάσθαι) ἢ ἀπὸ βοσκημάτων εἶπε. At *Critici* dici hic volunt pro πεφάθαι, & *Synecdochicè* omne genus Pecudum notare; ut Pindarus πεφάτων τεφίζαν, *Equorum Præsepe* vocat. *Herodotus* l. 4. c. 61. Θύουσι ὧν κῶν πάλλα πεφάθαι, ἵππους ἢ μήλους. *Simonides* Taurum nunc μῆλον, nunc πεφάθαι vocat. Μῆλον certè *Genus*, in illo, Μῆλα, βόας κεραὸς, καὶ εἶδε, καὶ πόσας εἶχας. Et *Odyss.* α'. v. 184. Μῆλ', οἷς τε καὶ αἶγας, ubi *Brevia Scholia*, Πεφάσθαι τὸ γένος, ἀπόνυμα τὸ εἶδος. Sic *Ovidius*, Nuces vocat *Poma*. *Homerus* certè μῆλον, de *Capellâ* dixit, *Odyss* ξ'. v. 105. Τῶν αἰεὶ σφῶν ἕκαστος ἐπ' ἤματι μῆλον ἄγεσκε Ζαπυρίων αἰγῶν. Ego simpliciter *Proventum* expono. Confer *Brevia Schol.*

81. Δάκρυ ἀνασπάσας) Excussis lacrymis, ad Miserationem ciendam; ut sequitur, Οἶκτος δ' ἔλε λαὸν ἅπαντα. Vid. *Eustath.* fol. 1433. lin. 30. Quòd verò Viri non citra decorum lacryment, ostendo, ad α'. v. 357.

VARIÆ LECTIONES.

73. Ἀποτινύμενοι] γρ. ἀποτινύμενοι.

77. Περιπλανοίμεθα) γρ. περιπλανοίμεθα, *Brevia Scholia*, & MS. *GC.*

81. Δάκρυ') γρ. δάκρυ.

85. Ἔειπες) γρ. ἴεπες, *Eustath.* fol. 1435. lin. 61.

Πάντας μὲν ῥ' ἔλπε, καὶ ὑπίοχεν ἀνδρὶ ἑκάστῳ,
Ἀγγελίας προϊεῖσα, νόος δέ οἱ ἄλλα μενοινᾷ.
Ἣ ἢ δόλον τόνδ' ἄλλον ἐνὶ Φρεσὶ μερμήριξε·
Στησαμένη μέγαν ἱστὸν ἐνὶ μεγάροισιν ὕφαινε,
Λεπτὸν καὶ ἄμετρον· ἄφαρ δ' ἡμῖν μετέειπεν,
Κοῦροι, ἐμοὶ μνηστῆρες, ἐπεὶ θάνε δῖος Ὀδυσσεὺς,
Μίμνετ' ἐπειγόμενοι τὸν ἐμὸν γάμον, εἰςόκε φᾶρος
Ἐκτελέσω, μή μοι μεταμώλια νήματ' ὄλῃται,
Λαέρτῃ ἥρωϊ ταφήϊον, εἰς ὅτε κέν μιν
Μοῖρ' ὀλοὴ καθέλῃσι τανηλεγέος θανάτοιο.
Μήπως μοὶ κατὰ δῆμον Ἀχαιϊάδων νεμεσήσῃ,
Αἴκεν ἄτερ σπείρου κεῖται, πολλὰ κλεαίνουσα.
Ὣς ἔφαθ'· ἡμῖν δ' αὖτ' ἐπεπείθετο θυμὸς ἀγήνωρ.
Ἔνθα καὶ ἡματίη μὲν ὑφαίνεσκεν μέγαν ἱστὸν,
Νύκτας δ' ἀλλύεσκεν, ἐπὴν δαΐδας παραθεῖτο.

" Omnes quidem sperare facit, & promittit viris singulis
" Nuncius præmittens, mens autem illi alia cogitat:
" Illa verò dolum hunc alium in mente deliberavit:
" Exorsa magnam telam in ædibus texebat,
" Subtilem & immensam; statimque nos alloquuta est,
" Juvenes, mei proci, postquam mortuus est divinus Ulysses,
" Sustinete urgentes meas nuptias, donec Vestem *pretiosam*
" Perfecero, ne mihi vana fila pereant,
" Laerti heroi sepulchralem, *in tempus*, quando tandem ipsum
" Fatum malum prehenderit asperæ mortis:
" Ne aliqua me in populo mulierum Achivarum culpet,
" Siquidem absque tegumento jacuerit, multa possidens.
" Sic ait: nobis verò statim persuasus est animus generosus.
" Tum etiam interdiu quidem texebat magnam telam,
" Nocte verò dissolvebat, postquam faces adhibuisset.

Σ Χ Ο Λ Ι Α.

91. Ἔλπε.] Εἰς ἐλπίδα ἄγει. ἐλπίζειν ποιεῖ.

92. Προϊεῖσα.] Προπέμπουσα.

94. Στησαμένη.] Στήσασα.

95. Περίμετρον.] Μέγαν, ὡρισμὸν μέτρου ἔχοντα· φασὶ δὲ, μὴ μονοπόδην, ἴσως ἰσοπόδην.

98. Μιτάμωλα.] Μάταια, μὴ ὄντα, μὴ ὄντα, μωρία, καὶ μωλία. ὡς τίτθον, λίτθον· πτοίημαι. πτοέομαι.

99. Ταφήϊον.] Ἐνταφίου· τοῦτο δὲ ἐκ τοῦ κοιλοῦν τὸ γάμου· καὶ παραθῆται δὲ ἡ, ὡς πολεμήϊον.

100. Ὀλοή.] Ὀλεθρία. Καθέλῃσι.] Καθαλώσῃ. Τανηλεγέος.] Μακροχρονίου.

101. Ἀχαιάδων.] Ἑλλάδων. Νεμεσήσῃ.] Μέμψηται.

102. Αἴκεν ἄτερ σπείρου.] Ὡς ἀξίαν ἐμαυτὴν ἀποκαλοῦσα κούρης· ἢ γὰρ παντελῶς ἀπόκοιτος· σπεῖρον, ὑφασμα, δυνάμενον σπείρειν, καὶ σπαργανᾶν, τὸ κοινῇ σεσιδηρωμένον, ἢ ἰμάτιον, ὡς τὸ, Σπεῖρα καὶ ἀμφὶ ἄρμασιν, κ. λ. Σπείρῃ.] Ἰματίῳ, ἀπὸ δὲ εἰσπνεύσεως καὶ ἐκπνεύσεως τῶν μίλητον. Κεῖται.] Ἐν τῷ πέφυκε κλινήσεται.] Κοιμήσεται.

104. Ἔνθα.] Τότε, χρονικῶς. Ἡματίη.] Καθ' ἡμέραν, δι' ἡμέρας. Ἡματίη μὲν ὑφαίνεσκε. Νύκτας δ' ἀλλύεσκεν.] Σχῆμα παραπόσεως.

105. Ἀλλύεσκεν.] Ἀνέλυεν. Ἐπὴν δαΐδας.] Εὐτελείας ἡρωϊκῆς δηλωτικὴ, ἡ τῶν δαΐδων παραθῆσις. Πλουτόπη, φασὶν, ἡ φιλοσοφία· ἴσως, ἡ ἐπίθεσις τῶν προπόσεων, ἐξ ὧν αἱ συλλογιστικαὶ συμπλοκαὶ· ἀνάλυσις, ἡ ὅπου καλεμβὼν παρὰ τοῖς φιλοσόφοις. ὡς οὐκ ἐναύσεις εἰ παχεῖς, καὶ ἀπάτηλοι μνηστῆρες· διὸ δὲ πείθει αὐτὴν, κύβοις αὐτὴν ἐπιρίψαντες ἑαυτούς· θεῖον γὰρ ἔργον τὸ πιεῖν. διὸ καὶ ἡ Πηνελόπη λέγει ἐξῆς, θεὸν ἐμπεσόντ' αὐτῇ, τὸ κατὰ τὸ πιεῖν ἴσον. διεφάνησε δὲ, ἡ προσπαίζων τῇ φιλοσοφίᾳ συλλογιστικὴ μεθόδου· δαιδὸς δὲ αἱ τὸ γνώστης.

N O T Æ.

103. Ὡς ἔφαθ'· ἡμῖν δ' αὖτ' ἐπεπείθετο) Olim in pluribus erat, αὖτε πεπείθετο. Sola *Eustathii Romana* rectè habuit, αὖτ' ἐπεπείθετο, ut & olim, *Odyss.* μ'. v. 314. ubi rectè in omnibus; ut & τ'. v. 148. *Thema* enim ἐπιπείθομαι. Ità *Odyss.* κ'. v. 406.—ἡμῖν δ' ἐπεπείθετο, & τ'. v. 14.—Τηλεμάχῳ δὲ φίλα ἐπεπείθετο πατρί. Quare & hic locus erat vindicandus.

NOTÆ IN SCHOLIA.

91. 92. 94. 95. 99. 100. 101. 102. Hæc *Scholia*, ex *Aloysii* MS. auxi, aut addidi, fere omnia: Pauca enim ex singulari Codice MS. *GC.* ut totum 94. Partem 99. 100. 101. Ad *Scholii* 99. explicationem, Confer *Hesych.* v. Ταφίϊα.

104. Ἔνθα πότε) Totum hoc *Scholion*, ex MSS. & Impressis paritèr compositum.

105. Ἀλλύεσκεν) Hoc *Scholion*, post ἀνέλυεν, ab ἐπὴν δαΐδας, *inclusive*, in MSto *Aloysii* deest, nec tamen ideò, quod aliquis in *Iliade* semper pronuntiat, à *Schrevelio* suffarcinatur; extat enim in *Aldinâ* Scholiorum Editione; quod dicendum de Omnibus aliis, quæ in *Odysseâ Schreveliana* Editionis habentur, nec in MSS. comparent.

Variæ Lectiones.

99. Εἰς ἵπ) γρ. ποίπ, vid. ad *Odyss.* τ'. v. 144.

Ὡς

Ὡς τρίετες μὲν ἔληθε δόλῳ, καὶ ἔπειθεν Ἀχαιούς·
Ἀλλ' ὅτε τέτρατον ἦλθεν ἔτος, καὶ ἐπήλυθον ὧραι,
Καὶ τότε δή τις ἔειπε γυναικῶν, ἣ σάφα ἤδη,
Καὶ τὴν γ' ἀλλύουσαν ἐφεύρομεν ἀγλαὸν ἱστόν·
Ὡς τὸ μὲν ἐξετέλεσσε, καὶ οὐκ ἐθέλουσ', ὑπ' ἀνάγκης.
Σοὶ δ' ὧδε μνηστῆρες ὑποκρίνονται, ἵν' εἰδῇς
Αὐτὸς σοῖς θυμοῖς, εἰδῶσι δὲ πάντες Ἀχαιοί·
Μητέρα σὴν ἀπόπεμψον, ἄνωχθι δέ μιν γαμέεσθαι
Τῷ, ὅτεῳ κε πατὴρ κέλεται, καὶ ἀνδάνῃ αὐτῇ.
Εἰ δ' ἔτ' ἀνήσῃ γε πολὺν χρόνον υἷας Ἀχαιῶν,
Τὰ φρονέουσ' ἀνὰ θυμὸν, ἃ οἱ πέρι δῶκεν Ἀθήνη,
Ἔργα τ' ἐπίστασθαι περικαλλέα, καὶ φρένας ἐσθλὰς,
Κέρδεά θ', οἷ' ἄπω πὶ ἀκούομεν ὑδὲ παλαιῶν,
Τάων, αἳ πάρος ἦσαν ἐϋπλοκαμῖδες Ἀχαιαὶ,
Τυρώ τ', Ἀλκμήνη τὲ, ἐϋπλόκαμός τε Μυκήνη·

" Sic triennio quidem latuit dolo, & perſuaſit Achæis:
" Sed quum quartus ven t annus, & advenerunt horæ,
" Et tunc certe aliqua dixit mulierum, quæ benè ſciebat;
" Et ipſam diſſolventem invenimus pulchram telam.
" Sic illa quidem perfecit, etiam nolens, præ neceſſitate.
" Tibi verò ſic proci reſpondent, ut ſcias
" Ipſe tuo animo, ſciant & omnes Achivi:
" Matrem tuam dimitte; jube autem ipſam nubere
" Illi, cuicunque pater juſſerit, & placuerit ipſi.
" Si verò amplius vexabit multo tempore alios Achivorum,
" Hæc agitans in animo, quæ ei abundè dedit Pallas,
" Operáque ſcire inſignia & mentem ſanam,
" Verſutias, quales unquam aliquam audivimus neque veterum,
" Earum, quæ olim fuerunt pulchricomæ Achivæ,
" Tyróque, Alcmenéque, pulchricomáque Mycenæ;

Σ Χ Ο Λ Ι Α.

105. Τρίτες.] Ὁ μὲν χρόνος, βαρέως· ὁ δὲ ποιητικὸς ἐξ ἀνάγκης, ὀξυτόνως. Ἔληθεν.] Ἐλάνθανεν, ἢ ἔλαθεν.

107. Καὶ ἐπήλυθον ὧραι.] Ὥραι δὲ τετάρτου ἔτους· ὡς σημαίνεσθαι ἔλεγε, Τάχα δὴ ἴσα πέπαρται, εἴσω τελειωθήσῃ.

108. Καὶ τότε δή τις ἔειπε.] Ποικίλη εἰκονομία εἰς σὲ ἀξᾶς, ἵνα σὺ τῷ τῶν ἄλλων αἱρέσει ἐπίμονος παραδιξώμεθα· δηλοῦσα ἡ ἀλλοία κέρδεα.

110. Καὶ οὐκ ἐθέλουσ' ὑπ' ἀνάγκης.] Τῷ βίαν δὲ μνηστῆρες ἐθέλουσιν.

111. Σοὶ δ' ὧδε μνηστῆρες ὑποκρίνονται.] Ἀντὶ δὲ ὕστερος ὑποκρίνου. ὅρα δὲ, ὅπως ὁ Ἀντίνοος ἑαυτὸν τοὺς ἄλλους μνηστῆρας ὑποκρίνει, ὡς αὐτὸς ὢν οἱ πάντες· καλῶς ἄρα τῷ πάντων αὐτὸς πιστεῦσαι, ὑπ' Ὀδυσσέως βληθείς.

114. Ὅτευ.] Ὅτου, ὡς Πάλλειος· ἀεὶ δὲ τὸ γενόμενος ἀντὶ τοῦ ἐγένου ἐκ τίνος. Ἤδη γάρ μ' ὁ πατήρ τε καὶ ἐγγύθεν εἰσὶν ἰόντες] Εὐρυμάχῳ γέγραφε.

115. Εἰ δ' ἔτ' ἀνήσῃ γε πολὺν χρόνον.] Ἡ ἀποπόλησις, τὸ τοῦ, Ἡμισυ δ' ἔτ' ἐπὶ ἔργα, τὰ δὲ λοιπὰ ἀφὶ μίσυ, ἢ ἀναβαπόδοτον τὸ, Εἰ, καθ' ὡς εἴωθε ποιεῖν· ὡς κὲ τὸ, Ἀλλ' εἰ μὲ δώσουσι γέρας. Ἀνήσῃ.] Ἀνιάσῃ, λυπήσῃ.

116. Ἃ οἱ πέρι δῶκεν Ἀθήνη.] Πικρῶς καθαψάμενος τῆς Πηνελόπης. ἀμφίσημον αὐτὴν βάλλει πρὸς ἐγκωμίοις.

117. Ἐπίστασθαι.] Εἰδέναι.

118. Κέρδεα.] Παιπαλώμενα· οὐχ ὡς ἡμεῖς, τὸ Φιλοχρηματίαν.

119. Ἐϋπλοκαμῖδες.] Εὐπλοκάμους, ὡς εὐκνήμις, πολυώτης.

120. Τυρώ.] Σαλμωνέως θυγάτηρ· ἔσχε δὲ ἐκ Ποσειδῶνος Νηλέα καὶ Πελίαν. Ἀλκμήνη.] Ἠλεκτρύωνος θυγάτηρ. Μυκήνη.] Ἴναχος θυγάτηρ ἐκ Μελίας τῆς Ὠκεανοῦ. Εὐπλόκαμος.] Καλὴν σφᾶς ἔσχεν· σφᾶς δὲ κόσμος γυναικῶν.

N O T Æ.

106. Τρίτες) *Ammonius*, Περὶ ὁμοίων καὶ διαφόρων λέξεων. Τρίτες βαρυτόνως, καὶ τρισὶ ὀξυτόνως, διαφέρει, φησὶ Πτολεμαῖος ὁ Ἀσκαλωνίτης· ἐὰν μὲν γὰρ βαρυτονήσωμεν, ἴσην ἐπὶ χρόνου, διὸ καὶ Ποιητὴς φησιν, Ὡς τρίτες μὲν ἔληθε δόλῳ· ἐὰν δὲ ὀξυτονήσωμεν, τρισὶ, ὡς ἀνῦσι, ἴσην ἐπὶ ἀλλοίας, οἷον, τρισὶ τὸ παιδίον· ὅθεν τὸ Ἐξεπὶ ἀλμήτῳ χρὴ δὲ ἀναμνήσκειν, ὡς ἀξιοῖ Ἀσκαλωνίτης. Conter *Iliad.* Ψ'. v. 266.

114. Ὅτευ) *Ionicè* pro ὅτου. Vid. ad *Iliad.* ε'. v. 491.

NOTÆ IN SCHOLIA.

106. Τρίτες) Hoc *Scholion* ex *Aloyſii* & *Gonvillo-Caienſ.* MSStis.

115. Ἀνήσῃ) Et hoc ex duobus prædictis.

117. Ἐπίστασθαι) Et hoc itidem.

120. Τυρὼ) Hoc *Scholion* ex duobus Prædictis MSS. addo, aliud alio ſupplendo.

VARIÆ LECTIONES.

120. Εὐπλόκαμος) καὶ Εὐρύφαος, MS. CCC. & MS. GC. *Br. Schol.* & *Pauſanias*, Corinth. fol. 58.

Τάων ὅπις ἐμοῖα νοήματα Πηνελοπείη
Ἤδη· ἀταρ μὴν τῶτό γ' ἐνὶ φρεσὶν οὐκ εἰδήσει.
Τόφρα γὰρ ἂν βιότου τε καὶ ἀλλήλοιν ἐδονεῖ,
Ὄφρα κε κείνη τῶτον ἔχῃ νόον, ὅττι οἱ νῦν
Ἐν στήθεσι πηδᾶσι θεοί· μέγα μὴν κλέος αὐτῇ
Ποιεῖτ', αὐτὰρ σοί γε πολὺ πολέος βιότοιο.
Ἡμεῖς δ' ὅτ' ἐπὶ ἔργα πάρες γ' ἴμεν, ὅττι πῃ ἄλλῃ,
Πρό γ' αὐτὴν μνήσασθαι Ἀχαιῶν, ὥ κ' ἐθέλῃσιν.
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα,
Ἀντίνο', ὅπως ἐπὶ δῆμον ἀέκητι ἀπῶσαι,
Ἥ μ' ἔπεχ', ἣ μ' ἔθρεψε· πατὴρ δ' ἐμὸς ἄλλοθι γαίης,
Ζώει ἔγ', ἢ τέθνηκε· κακὴν δέ με, πολλὰ δοπτίειν
Ἰκαρίῳ, αἴκ' αὐτὸς ἑκὼν ἀπὸ μητέρα πέμψω.
Ἐκ γὰρ τοῦ πατρὸς κακὰ πείσομαι, ἄλλα δ' ὀπίσσω

" Illarum nulla similes artes Penelopæ
" Norat; cæterùm quidem hoc laudandum nequaquam cogitavit.
" Tam diu igitur victum tuum & bona consument,
" Donec illa hunc habebit animum, quem quidem nunc illi
" In pectoribus posuerant Dii; magnam quidem gloriam sibi
" Comparat, cæterùm tibi desiderium multi victûs.
" Nos verò nec ad res nostras antè ibimus, neque aliquò aliò,
" Antequam ipsa nubet Achivorum, cuicunque voluerit.
Hunc rursus Telemachus prudens contrà allocutus est.
" Antinoë, nullo modo licet è domo invitam expellere,
" Quæ me peperit, quæ me enutrivit; pater autem meus alicubi terræ
" Vivit, sive mortuus est: darum sanè *esset*, me multa reddere
" Icario, siquidem ipse volens matrem dimiserо.
" Ex patre enim mala patiar, aliaque Deus

ΣΧΟΛΙΑ.

125. Ἐν στήθεσι πηδῶσι θεοί.] Θεόσδοτον λέγει τὸν Πηνελόπην, ἀλλ' οὐχ ὅπως ὁ υἱὸς ἀλλ' ἐρεθίζει τὸν Τηλέμαχον ἀπόπειραν τοῦ μητέρα· ἢ ἀφ' τὸ ἴδιον συμφέρον παροξύνει τὸν Τηλεμάχην. ἔστι δὲ τῶτο καὶ φήμην ἐγκαλλωπιστικήν. ἀλείπτης γὰρ ὅπως ἀπόβῃ τοῖς μνηστῆρσιν.

126. Πολέος.] Πολλῆς.

127. Ἡμεῖς δ' ὅτ' ἐπὶ ἔργα.] Τῶτο ἀντὶ τοῦ καιρὸν τοῖς μνηστῆρσιν, ἐξὸν σωθῆναι ἄλλῳ τρόπῳ μᾶλλον, ὅμως πάλιν ὁμῶς ἐφιλονείκησε, παναλωθέλαι ἔπαθον. Ὃ καὶ ὁ πλούταιός φησι τὸν Ἀντιόχου λόγον, ὡς οἷά τις καλὸς τὸν μνηστῆρα ἐπεκαλλώπισε φαντασία. Ἴμεν.] Πορευώμεθα, ἄπιμεν.

128. Γήμωσιν.] Γαμηθῶσιν.

130. Ἀπῶσαι.] Πανδήμου, κατὰ συνήθειαν, τὸ ἰσχὺν ποιησάσθω εἰδέναι τοῦτο ὁ Τηλέμαχος. Δῆμον ἀέκητι ἀπῶσαι.] Καὶ ὅπως πρωτικῶς ἅμα μεσικῶς τὸν ἀντῆρησιν ποιεῖται. σοὶ μὲν γὰρ τὸ ἀπαθὲς καὶ τὸ ὑπερίσχειν σωτικόν. παραινέτης δ', ὅπη μάλιστα ἀπερυθριάσῃ ὁ Ἀντίνοος, ἐξὸν τῶτο τῶν ἀντῆρησιν ποιῆσαι. ἔστι γὰρ ἐξόπλισμα τὸ ἴδιον τὸ φύσεως λόγου ἀντικαταστῆσαι. ὅμα δὲ καὶ τῶν ὑπακουῶν ῥήμασίν. ὁ μὲν ψιλῶς εἶπεν, ἀπέπεμψον. ὁ δὲ σὺν ἂν φησὶν ἀπώσασθαι καὶ ὁ μὲν μητέρα. ὁ δὲ· Ἥ μ' ἔπεχ', ἣ μ' ἔθρεψε, καὶ ἐπὶ τῶτοις, τὸ εἴσω. Ἀπῶσαι.] Ἀποθῆσαι, ἐκβαλεῖν.

131. Ἥ μ' ἔπεχ', ἣ μ' ἔθρεψεν.] Ἐπίτασιν δηλοῖ γονεοπάτορος τὸ, ἣ μ' ἔθρεψε, πολλαὶ γὰρ μητέρες ἐκπρᾶσαι τοῖς πένησι τὰ τέκνα. Διὸ καὶ ἀπειρήκασι ἀφ' τὴν ἄνεσιν εἰληφέναι.

143. Ἐήνδανε) Pro ἤνδανε. Vid. ad *Iliad.* α'. v. 25.
147. Οὐ γὰρ τ' αἶψα θεῶν) Vid. *Iliad.* ι'. v. 493.

NOTÆ IN SCHOLIA.

146. Πείσεσθαι) Πείσειν, ut benè Duo MSS. malè *Impressi* πείσεσθαι, nisi simul sumas ἔμελλε, πείσεσθαι ἔμελλε) Πείσειν.
155. Γναμπτῇ) Ità MSS. Duo; quare βαλῇ, quod olim in *Impressis*, minùs placet.

VARIÆ LECTIONES.

144. Ῥίζειν) γρ. ῥίξαι, *H. Steph.*

Ἐς

Ἐς Τένεδον δ' ἐλθόντες, ἐρέξαμεν ἱερὰ θεοῖσιν,
Οἴκαδε ἱέμενοι· Ζεὺς δ' ὄπωπ μήδετο νόστον,
Σχέτλιος, ὅς ῥ' ἔειν ὦρσε κακὴν ἐπὶ δεύτερον ἔριν.
Οἱ μὲν δὴ πρέψαντες ἔβαν νέας ἀμφιελίσσας,
Ἀμφ' Ὀδυσῆα ἄνακτα δαίφρονα ποικιλομήτην,
Αὖτις ἐπ' Ἀτρείδῃ Ἀγαμέμνονι ἦρχε φέροντες.
Αὐτὰρ ἐγὼ σὺν νηυσὶν ἀολλέσιν, αἳ μοι ἕποντο,
Φεῦγον, ἐπεὶ γίνωσκον, ὃ δὴ κακὰ μήδετο δαίμων.
Φεύγε δὲ Τυδέος υἱὸς ἀρήϊος, ὦρσε δ' ἑταίρους·
Ὀψὲ δὲ δὴ μὲν νῶϊ κιὲ ξανθὸς Μενέλαος,
Ἐν Λέσβῳ δ' ἔκιχεν δολιχὸν πλόον ὁρμαίνοντας,
Ἢ καθύπερθε Χίοιο νεώμεθα παιπαλόεσσης,
Νήσου ἔπι Ψυρίης, αὐτίου ἐπ' ἀστερόεντος ἔχοντες,
Ἢ ὑπένερθε Χίοιο, παρ' ἠνεμόεντα Μίμαντα.
Ἠιτέομεν δὲ θεὸν φῆμιν τέρας· αὐτὰρ ὅγ' ἡμῖν
Δεῖξε, καὶ ἠώγει πέλαγος μέσον εἰς Εὔβοιαν
Τέμνειν, ὄφρα τάχιστα ὑπεκ κακότητα φύγοιμεν.
Ὦρτο δ' ἐπὶ λιγὺς οὖρος ἀήμεναι· αἱ δὲ μάλ' ὦκα
Ἰχθυόεντα κέλευθα διέδραμον· ἐς δὲ Γερηστὸν

" In Tenedum autem quum advenimus, fecimus sacra diis,
" Domum *per*ire cupientes: Jupiter autem nondum curabat reditum,
" Infelix: qui contentionem concitavit malam secundo iterum.
" Alii quidem reverti ascenderunt naves remis utrinque impulsas,
" Qui circa Ulyssem erant regem prudentem varii consilii,
" Rursus Atridæ Agamemnoni gratificantes.
" Sed ego cum navibus congregatis, quæ me sequebantur,
" Fugi: quoniam cognoscebam; quòd jam mala meditabatur deus.
" Fugit & Tydei natus bellicosus, impulitque socios:
" Serò autem ad nos venit flavus Menelaus,
" In Lesbo etenim offendit de longâ navigatione deliberantes,
" An supra Chium iremus asperam,
" Ad Insulam Psyriam, ipsam à finibus habentes,
" An sub Chio, ad ventosum Mimanta.
" Rogavimus itaque deum ostendere signum: sed hic nobis
" Ostendit & jussit pelagus medium in Euboram
" Sulcare; ut quàm celerrimè infortunium fugeremus.
" Cœpit autem stridulus ventus spirare; hæ verò valdè velociter
" Piscosas vias percurrerunt; & ad Geraistum

ΣΧΟΛΙΑ.

159. Ἐρίξαμεν.] Ἐπραξαμεν, ἐθύσαμεν.
164. Ἧεν.] Ἐπῆλυπε.
165. Μετὰ νῶϊν.] Ὡς σοὶς ἡμᾶς, μετ' ἡμᾶς.
169. Λέσβῳ.] Λέσβος, νῆσος Τροίας, ἔχουσα πόλεις, Πύῤῥαν, Ἔρεσσον, Μιτυλήνην, Μάθυμναν, Ἄντισσαν. Ἔκιχεν.] Καπίλαβεν. Δολιχὸν πλόον ὁρμαίνοντας.] Διανοουμένους περὶ μακρᾶ πλόα.
170. Καθύπερθε.] Ὑπερόπιον. Νεώμεθα.] Περιπλεύσωμεν. Παιπαλόεσσης.] Τραχείας.
171. Νήσου ἐπὶ Ψυρίης.] Νησίδιόν ἐστι λυπρὸν ἀπέχον σταδίους π', τῆς Χίου· ὃ καὶ αἰγιαλὸν ἔχει. εἰς ὃ ἐστὶ λιμὴν ἐπεξέρχομενος ἀπὸ τῆς Αἰγαίου πελάγους πλοιαρίοις τοὺς ναύτας μεταπεμπόμενος· κεῖται ὁ πλοῦς Χίου μέσον τῆς Ψυρῶν ἐς τὸ Μίμαντος. Αὐτίου ἐπ' ἀστερόεντος.] Τῷ Χίου λόφῳ.
172. Παρ' ἠνεμόεντα Μίμαντα.] Ὁ Μίμας, ὄρος λιτὸ Μιμαντικὸν, ἐνὸς τῶν γιγάντων, ὀνομασθέν. Ἠνεμόεντα.] Ἀνέμους καταπέμπον, καταιγὸν, ὑψηλόν. Ὑπένερθε.] Ὑποκάτωθε. Ἐρυθρῶν Ἰωνίας, αἴπυρος Χίῳ, τὸ ὄρος.
173. Ἠιτέομεν.] Ἠιτοῦμεν, παρεκαλοῦμεν. Φῆμιν.] Δεῖξαι.
174. Ἠνώγει.] Ἐκέλευεν. Πέλαγος μέσον.] Τῶν τότων μέσων οἶδν. Εὔβοιαν.] Νῆσον, ἐγγὺς Ἀθηνῶν.
175. Τέμνειν.] Διαπερᾶν. Κακότητα.] Τὸν κίνδυνον, τῶν κακῶν.
176. Οὖρος.] Πόμιμος ἄνεμος. Ἀήμεναι.] Πνεῖν, φυσᾶν.
177. Ἰχθυόεντα κέλευθα.] Τὰ θαλάσσια λέγει. Γερηστὸν.] Γεραιστὸς, λιμὴν Εὐβοίας.

NOTÆ IN SCHOLIA.

169. Ἔρεσσον) *Aloysii* MS. & *Stephanus* περὶ πόλεων, Ἔρεσον legunt, unde *Theophrastus* Ἐρέσιος. *Strabo* tamen Ἐρεσσὸς legit, cum Duplici σ'. & *Athenæus* in ultimâ.

172. Παρ' ἠνεμόεντα Μίμαντα) Ὁ Μίμας, ὄρος Ἐρυθρῶν &c. Ità corrigo, Auctoritate MSti *Aloysiani*, quod legit imprimis, Μίμας δ' ὄρος ἐρυθρὸν Ἰωνίας, αἴπυρος Χίῳ τὸ ὄρος. Ἐρυθρὸν corrigo, in Ἐρυθρῶν, & τὸ rejicio, à *Strabone* doctus; qui Montem hunc ad *Erythras* ponit, quam & ille *Jonia* Civitatem docet, fol. 645. & *Stephanus* περὶ πόλεων, v. Ἐρυθραί. Quod olim in fine hujus *Scholii* sequebatur, Μίμας) Ὁ Μίμας, ὄρος ἐρυθρὸν λιμένος Χίου, nunc delco, cùm omnem ejusdem vim in principio extractam habeas. De Gigante *Mimante*, vid. *Horat.* l. 3. Od. iv. Sed quid *Typhœus*, aut validus *Mimas* &c.

Ἐννύ-

Ἐννύχιαι καταλῆξαι· Ποσειδάωνι δὲ ταῦροι
Πολλὰ ἐπὶ μοῖρ' ἔθεμεν, πέλαγος μέγα μηρί' ἀσαῖτες.
Τέτρατον ἦμαρ ἔην, ὅτ' ἐπ' Ἀργεῖοι νῆας ἔσαν
Τυδείδαο ἕταροι Διομήδεος ἱπποδάμοιο
Ἑξῆσαν· αὐτὰρ ἔγωγε Πύλονδ' ἔχον· οὐδέ ποτ' ἔσθη
Οὖρος, ἐπειδὴ πρῶτα θεὸς ὀφέηκεν ἄπαν.
Ὣς ἦλθον, φίλε τέκνον, ἀπθλθής· οὐδέ τι οἶδα
Κέινων, οἵ τ' ἐσάωθεν Ἀχαιῶν, οἵ τ' ἀπόλοντο.
Ὅσσα δ' ἐν μεγάροισι καθήμενος ἠμετέροισι
Πεύσομαι, ἢ θέμις ἐστί, δαήσεαι, οὐδέ σε κεύσω.
Εὖ μὲν Μυρμιδόνας φάσ' ἐλθέμεν ἐγχεσιμώρους,
Οὓς ἄγ' Ἀχιλλῆος μεγαθύμου φαίδιμος υἱός·
Εὖ δ' Φιλοκτήταο, Ποιάντιον ἀγλαὸν υἱόν·
Πάντας δ' Ἰδομενῆα Κρήτην εἰσήγαγ' ἑταίρους,
Οἳ φύγον ἐκ πολέμου, πόντος δέ οἱ ὕπτια ἄπυεν.
Ἀτρεΐδην δ' αὐτὸν μὲν ἀκούετε, τόσσον ἐόντες,
Ὡς τ' ἦλθ', ὡς τ' Αἴγισθος ἐμήσατο λυγρὸν ὄλεθρον.
Ἀλλ' ἦτοι κεῖνος μὲν ὑπερμενέος ἀπέτισεν

" Noctemque deduxe sunt: Neptuno autem taurorum
" Multas coxas impoſuimus, pelagus magnum emeſi.
" Quartus dies erat quando in Argis naves æquales
" Tydidæ ſocii Diomedis bellicoſi
" Conſtituêre: Sed ego Pylum verſus curſum tenui; nec unquam deſiit
" Ventus, poſtquam primùm deus præmiſit flare.
" Sic veni, dilecte fili, inſcius; nec ſcio quæ jam
" De illis, qui ſervati ſint Achivorum, quique perierint.
" Quæcunque autem in domibus ſedens noſtris
" Audivi, quatenus fas eſt, docebèris, neque te celabo.
" Benè quidem Myrmidonas dicunt rediiſſe haſtâ exercitatus,
" Quos duxit Achillis magnanimi præclarus filius.
" Benè autem Philoctetem, Paantis illuſtrem filium:
" Omnes autem Idomeneus in Cretam duxit ſocios,
" Qui fugerunt ex bello; pontus etenim ipſi nullum abſtulit.
" Atridem verò & ipſi auditis, quanquam procul ſitis,
" Et quomodò venit, & quomodò Ægiſthus moliturſit triſtem mortem:
" Sed ille quidem quam miſerabiliter perſolvit:

ΣΧΟΛΙΑ.

178. Ἐννύχιαι.] Ἐνυδιαὶ, ἀπὸ νύκτα.

179. Μετήσαντες.] Διελθόντες, ἀμφιφήσαντες, ἀλοιθρομήσαντες.

182. Ἔσθη.] Ἐσθίετο. ἐπαύετο.

183. Ἄϋτμ.] Πνεῦμα.

184. Φίλε τέκνον.] Ἅτε ἐπὶ τὸ Σημαινόμενον ἀπίντησι φίλος· τὸ γὰρ τέκνον οὐδέτερον· ἢ ἐπὶ τὸ συνάντημα, τὸ παῖς. Ἀπόλητο.] Μᾶλλον κυριολογῶν, ἢ ἀπώλεσας.

185. Ἐσάωθεν.] Ἐσώθησαν.

187. Πεύσομαι.] Πευσόμενος, ἀκούω. Ἢ θέμις.] Ὡς δίκαιον, ὡς ὁ νόμος. Δαήσεαι.] Μαθήσῃ. Κεύσω.] Κρύψω.

188. Εὖ μὲ Μυρμιδόνας.] Οἱ νεώτεροι τ Νεοπτόλεμον εἰς τὸν Ἴλιον ἐλθεῖν λέγουσι.

191. Πόντος δέ οἱ ὕπτια ἄπυεν.] Οὐκ ἀπόλωσεν ὁ πόντος τινὰς, ὥς π ἐκπεσόντας πρό.

194. Ἐμήσατο.] Διεπράξατο, εἰργάσατο.

195. Ἐπισμυγερῶς.] Ἐπιπόνως, τὸ μίσους μεστὸν λέξαι. Αἰολικῶς ἢ ἐστὶν, ἐπισπόνως.

NOTÆ.

179. Πόντ' ἐπὶ μοῖρ' ἔθεμεν) Ità *Euſtath.* & *H. Steph. Florentina* verò *μοιρέ ἔθεμεν*, quam *Lectionem* ſunt qui defendunt, per *συναφαίρεσιν* contrahentes Duas breves in unam longam. Verùm non modò *μοιρία Homero*, ſed & *μοιρὰ*, ut *Odyſſ. ν'.* v. 27. *Μοιρὰ δ' οὐκ ἐστὶν ἀλιτεῖν ἐμοῖ γε πεπρωμένα ἔστιν*, ut ibi *Florentina* etiam. Vid. *Chriſtophori Haſii* Senarium, c. 14. p. 205.

185. Ὅσσα δ' ἐπὶ μεγάροισι) *Ultima* ᾱ ἐπὶ producitur, vi *Toni ſui* & οὐ μ'. ut β'. v. 338.

NOTÆ IN SCHOLIA.

184. Ἀπέντησε φίλῳ· τὸ γὰρ) Olim *ἀπάντησε. φίλῳ γὰρ τὸ* &c. impediſſimè; quod niſi *Aloyſii* MS. diremiſſet, ità legerem, *φίλος γὰρ ἀρσενικὸν, τὸ δὲ πέκνον οὐδέτερον.*

195. Ἐπισμυγερῶς) Ità pro *σμυγερῶς* lego, quià ſimplex nullo modo hic locum poteſt habere, & *Heſych.* Ἐπισμυγερῶς) Ἐπιπόνως. Agnoſco vocem *σμυγερῶς*, aliàs occurrere; verùm in *Textu* hujus loci, nequaquam; quare neque in *Scholiis*, in quibus Verba *Textûs* repeti debent. Μετείλητλαι lego, pro corrupto illo *μετήλητλαι*, *Impreſſ.* & *μετήλειπλαι*, *Aloyſian.* & *Aldin.*

VARIÆ LECTIONES.

179. Μοῖρ' ἔθεμεν) γρ. μοιρέ' ἔθεμεν, *Florentin.* vid. Not. ad *Textum.*

185. Οἵ τ' ἐσάωθεν) γρ. οἵ π σάωσι, MSS. GC. & *Aloyſii*; in *Schol.* enim ibi, & in *Ald.* Σάωθεν) Ἐσώθησαν.

195. Ἐπισμυγερῶς) γρ. ἐπὶ σμυγερῶς. Vid. Not. in *Br. Schol.*

Ὡς ἀγαθὸν καὶ παῖδα καταφθιμένοιο λιπέσθαι
Ἀνδρός· ἐπεὶ καὶ κεῖνος ἐποίσατο πατροφονῆα,
Αἴγισθον δολόμητιν, ὃς οἱ πατέρα κλυτὸν ἔκτα.
Καὶ σύ, φίλος, μάλα γάρ σ' ἐρέω καλόν τε μέγαν τε,
Ἄλκιμος ἔσσ', ἵνα τίς σε καὶ ὀψιγόνων εὖ εἴπῃ.
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα,
Ὦ Νέστορ Νηληϊάδη, μέγα κῦδος Ἀχαιῶν,
Καὶ λίην κεῖνος μὲν ἐποίσατο, καί οἱ Ἀχαιοὶ
Οἶσουσι κλέος εὐρύ, καὶ ἐσομένοισιν ἀοιδήν.
Αἴ γὰρ ἐμοὶ τοσσήνδε θεοὶ δύναμιν περὶ θεῖεν
Τίσασθαι μητρὸς ὑπερβασίης ἀλεγεινῆς,
Οἵτε μοὶ ἐνθείξαντες ἀτάσθαλα μηχανόωντο.
Ἀλλ' ἤ μοι τοῦτον ἐπέκλωσαν θεοὶ ὄλβον,
Πατρί τ' ἐμῷ καὶ ἐμοί· νῦν ἦ χρὴ πάλαμφι ἔμπης.
Τὸν δ' ἠμείβετ' ἔπειτα Γερήνιος ἱππότα Νέστωρ,
Ὦ φίλ', ἐπεὶ δὴ ταῦτά μ' ἀνέμνησας καὶ ἔειπες,
Φασὶ μνηστῆρας σῆς μητέρος εἵνεκα πολλοὺς
Ἐν μεγάροις, ἀέκητι σέθεν, κακὰ μηχανάασθαι.
Εἰπέ μοι, ἦε ἑκὼν ὑποδάμνασαι, ἤ σέ γε λαοὶ
Ἐχθαίρουσ' ἀνὰ δῆμον, ὑποσσόμενοι θεῷ ὄμφῃ;
Τίς δ' οἶδ', εἴ κέ ποτέ σφι βίας ἀποτίσεται ἐλθών,
Ἢ οἶος μέγας ἐών, ἢ καὶ σύμπαντες Ἀχαιοί;
Εἰ γάρ σ' ὡς ἐθέλοι φιλέειν γλαυκῶπις Ἀθήνη,
Ὡς τότ' Ὀδυσσῆϊ θείκέλῳ κῦδαλίμοιο,

" Adeò bonum, & filium interempti relictum esse
" Viri, quoniam & ille i. e. *Oreftes* ultus est patricidam
" Ægisthum dolosum, qui ejus patrem inclytum interfecerat.
" Et tu, amice, valdè enim te video bonumque magnumque,
" Fortis esto; ut aliquis tibi, & posterorum benè dicat.
Hunc rursus Telemachus prudens contra alloquutus est,
" O Nestor Neleïade, magna gloria Græcorum,
" Et jure ille quidem ultus est, & ei Græci
" Deferent gloriam latam, & posteris præconium.
" Utinam enim mihi tantam dii vim dedissent
" Ulciscì procos injuriæ molestæ causa,
" Qui me contumeliâ afficientes nefanda moliuntur.
" Sed neutiquam mihi hujusmodi destinârunt dii honorem,
" Patrique meo & mihi; nunc igitur opus est pati nihilo secius.
Hunc excepit verbis Gerenius eques Nestor,
" O amice, quandoquidem de his me admones & loquutus es,
" Ferunt procos, tuam matrem propter, multos
" Domi, te invito, mala machinari.
" Dic mihi, an lubens vîctus es, an te cives
" Odio habent publicè, sequentes dei impulsum?
" Quis novit, an aliquando ipsorum violentiam puniet, quando venerit,
" Sive ille solus, sive universi Achivi?
" Si enim te sic vellet amare excelsa Minerva,
" Quemadmodum Ulyssis quondam supra modum curam habuit glorioſi

Σ Χ Ο Λ Ι Α.

196. Καταφθιμένοιο.] Ἀπηλλαγότος. Λιπέσθαι.] Καταλειφθῆναι.
205. Αἴ γὰρ ἐμοί.] Εἴθε γὰρ ἐμοί.
206. Ὑπερβασίης.] Ὑπερφυσίας.
208. Ἐπέκλωσαν.] Εἱμαρμένον γενέσθαι ἐπέτρεψαν. Ὄλβον.] Εὐδαιμονίαν.
209. Τετλαίην.] Καρτερῶν.
213. Μηχανάασθαι.] Ἐπινοεῖν.
214. Ὑποδάμνασαι.] Ὑποτάττεις.
215. Ἐχθαίρουσι.] Μισοῦσιν. Ἐποσσόμενοι.] Ἀναλαθοῦντες καὶ πυθόμενοι. Ὄμφῃ.] Χρησμῷ, κληδόνι, μαντείᾳ.

N O T Æ.

196. Ὡς ἀγαθὸν καὶ παῖδα καταφθιμένοιο λιπέσθαι) Hunc locum egregiè ornat *Ælian.* Hist. Animal. l. 4. c. 45. De *Leone*, socii sui *Canis* necem, ab *Urso* vindicante.
198. Αἴγισθον δολόμητιν) Hic *Dolus malus* damnatur. Vid. ad v. 121.

Variæ Lectiones.

204. Ἐσσομένοισιν ἀοιδήν) κ. ἐσσομένοισι πυθέσθαι. *H. Steph.*
211. Ἔσσης) κ. ἴσσης. *H. Steph.*
219. Πειρήσεται) γρ. πίσει κεν.

Δήμῳ

Δήμῳ ἔνι Τρώων, ὅθι πάσχομεν ἄλγε' Ἀχαιοί·
Οὐ γάρ πω ἴδον ὧδε θεοὺς ἀναφανδὰ φιλεῦντας,
Ὡς τότε οἱ ἀναφανδὰ παρίστατο Παλλὰς Ἀθήνη·
Εἴ σ' ὕπας ἐθέλοι φιλέειν, κήδοιτό τε θυμῷ,
Τῷ κέν τις τῶν γε καὶ ἐκλελάθοιτο γάμοιο.
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα,
Ὦ γέρον, ὅπως τοῦτο ἔπος τελέεσθαι ἐοικεν·
Λίην γὰρ μέγα εἶπες· ἄγη μ' ἔχει· οὐκ ἂν ἔμοιγε
Ἐλπομένῳ τὰ γένοιτ', οὐδ' εἰ θεοὶ ὣς ἐθέλοιεν.
Τὸν δ' αὖτε προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη,
Τηλέμαχος, ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων;
Ῥεῖα θεὸς γ' ἐθέλων καὶ τηλόθεν ἄνδρα σαῶσαι.
Βουλοίμην δ' ἂν ἔγωγε καὶ ἄλγεα πολλὰ μογήσας,
Οἴκαδέ τ' ἐλθέμεναι καὶ νόστιμον ἦμαρ ἰδέσθαι,
Ἢ ἐλθὼν ἀπολέσθαι ἐφέστιον, ὡς Ἀγαμέμνων
Ὤλεθ', ὑπ' Αἰγίσθοιο δόλῳ καὶ ἧς ἀλόχοιο.
Ἀλλ' ἦτοι θάνατόν μὲν ὁμοίιον οὐδὲ θεοί περ
Καὶ φίλῳ ἀνδρὶ δύνανται ἀλαλκέμεν· ὁππότε κέν δὴ
Μοῖρ' ὀλοὴ καθέλῃσι ταναηλεγέος θανάτοιο.
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα,
Μέντορ, μηκέτι ταῦτα λεγώμεθα, κηδόμενοί περ.
Κείνῳ δ' οὐκ ἔτι νόστος ἐτήτυμος, ἀλλά οἱ ἤδη
Φράσαντ' ἀθάνατοι θάνατον καὶ κῆρα μέλαιναν.
Νῦν δ' ἐθέλω ἔπος ἄλλο μεταλλῆσαι καὶ ἐρέσθαι
Νέστορ'· ἐπεὶ περίοιδε δίκας ἠδὲ φρένα ἄλλων·
Τεὸς γὰρ δή μιν φασὶν ἀνάξαντα γενέσθαι

" Populo in Trojanorum, ubi passi sumus dolores Græci:
" Non enim unquam vidi usque adeò deos manifestè amantes.
" Quemadmodum illi manifestè astitit Pallas Minerva;
" Si te, *inquam*, adeò vellet amare, curaréque in animo,
" Sanè quispiam illorum utique oblivisceretur nuptiarum.
Hunc rursus Telemachus prudens contra alloquutus est,
" O senex, nondum hunc sermonem perfectum iri existimo;
" Supra modum enim magna dixisti, stupor me tenet; non utique mihi
" Speranti ea contingerent; neque si dii sic velient.
Hunc rursus alloquebatur dea cæsia Minerva,
" Telemache, quod tibi dictum effugit septum dentium?
" Facile Deus sanè, si voluerit, etiam ex longinquo virum servaverit.
" Maliem verò ego etiam dolores multos passus
" Domum redire, & reditûs diem videre,
" Potiùs quàm veniens perire in propriâ domo; veluti Agamemnon
" Periit, ab Ægisthi fraude & suæ uxoris.
" Verum enimverò mortem omnibus communem, neque dii ipsi
" Etiam ab amato viro volunt arcere, quandocunque tandem
" Fatum pernitiosum corripuerit asperæ mortis.
Hunc rursus Telemachus prudens contrà alloquutus est,
" Mentor, nè amplius hæc differamus, tristes licet:
" Illi verò non amplius reditus certus; sed ei jam
" Destinârunt immortales mortem & fatum nigrum.
" Nunc verò volo aliud inquirere & interrogare
" Nestorem, quoniam præ *aliis* novit jura & prudentiam;
" Ter enim ipsum dicunt imperâsse sæculis virorum,

ΣΧΟΛΙΑ.

221. Ἀναφανδά.] Ἐκ τοῦ φανερῶς, φανερῶς. Φιλοῦντας.] Φιλοῦντας.
223. Κέλοιτο.] Φροντίζοι.
224. Ἐκλελάθοιτο.] Ἐπιλαθοῖτο.
231. Σαῶσαι.] Σῶσαι, ἀντὶ τοῦ σώσῃ.
234. Ἔφιπος.] Ἐπὶ τῆς ἑαυτοῦ οἰκίας, εἰς τὴν ἰδίαν οἰκίαν.
236. Ὁμοίιον.] Τὸν ὁμοίως ἐπὶ πάντας καὶ φύσιν ἐρχόμενον.
238. Μοῖρ'.] Θανατικὴ ἀνάγκη.
240. Λιγὺ μυθ.] Διαλιγόμυθα. Κηδόμενοί περ.] Καίπερ λυπούμενοι.
241. Ἐτήτυμος.] Ἀληθής.
242. Φράσαντο.] Ἐβουλεύσαντο.
244. Δίκας.] Δίκαια, καθήκοντα. Φρένα.] φρόνησιν.
245. Ἀνάξαντα.] Βασιλεύσαι.

VARIÆ LECTIONES.

223. Οὕτως ἰθύνοι) *scr.* ὕτως γ' ἰθύνοι malè; ὕπως γ' ἰθύνοι, melius.
227. Οὐκ) *scr.* οὐδ', *H. Steph.*
230. Τηλέμαχ-) *scr.* Τηλέμαχε, malè.
240. Λιγὺ μυθ.) *scr.* λιγύμυθε, *H. Steph.* & MS. *GC.* & *Aldin.* Schol. & Text. & melior *Ledio.*

Ὥς με μὴ ἀθανάτοις ἰσάλλεσθαι εἴσεται.
Ὦ Νέστορ Νηληϊάδη, σὺ δ' ἀληθὴς ἔσσο,
Πῶς ἔθανε Ἀτρεΐδης εὐρυκρείων Ἀγαμέμνων;
Ποῦ Μενέλαος ἔλιπε; τίνα δ' αὐτῷ μήσατ' ὄλεθρον
Αἴγισθος δολόμητις; ἐπεὶ κτάνε πολλὸν ἀρείω.
Ἦ οὐκ Ἄργεϊ ἦεν Ἀχαιϊκῷ, ἀλλά πη ἄλλῃ
Πλάζετ' ἐπ' ἀνθρώπους, ὁ δ', θαρσήσας κατέπεφνε;
Τὸν δ' ἠμείβετ' ἔπειτα Γερήνιος ἱππότα Νέστωρ,
Τοίγαρ ἐγώ τοι, τέκνον, ἀληθέα πάντ' ἀγορεύσω·
Ἦτοι μὲν τόδε κ' αὐτὸς ὀΐεαι, ὡς κεν ἐτύχθη·
Εἰ ζώοντ' Αἴγισθον ἐνὶ μεγάροισιν ἔπιτμον
Ἀτρεΐδης, Τροίηθεν ἰών, ξανθὸς Μενέλαος·
Τῷ κέ οἱ οὐδὲ θανόντι χυτλὼ ἐπὶ γαῖαν ἔχυσαν,
Ἀλλ' ἄρα τόν γε κύνες τε καὶ οἰωνοὶ κατέδαψαν
Κείμενον ἐν πεδίῳ ἐκὰς ἄστεος· οὐδέ κε τίς μιν
Κλαῦσεν Ἀχαιϊάδων· μάλα γὰρ μέγα μήσατο ἔργον.
Ἡμεῖς μὲν γὰρ κεῖθι πολέας πολέσιλις ἀέθλους
Ἤμεθ'· ὁ δ' εὐκνήμων μυχῷ Ἄργεος ἱπποβότοιο
Πόλλ' Ἀγαμεμνονίδῃ ἄλοχον θέλγεσκ' ἐπέεσσιν,
Ἤϊ' ἤτοι τοπρὶν μὲν ἀναίνετο ἔργον ἀεικὲς
Δῖα Κλυταιμήστρη, φρεσὶ γὰρ κέχρητ' ἀγαθῇσι·

" Atque mihi immortalibus æquiparatur aspectu.
" O Nestor Neleida, tu verò verum dic,
" Quomodo mortuus est Atrides latè imperans Agamemnon?
" Ubi Menelaus erat? Quam illi machinatus est mortem
" Ægisthus dolosus? Quoniam occidit se multò præstantiorem.
" Annon in Argo erat Achaico *Menelaus?* An alicubi a ibi
" Errabat apud homines, ille verò sumpto animo interfecit?
Huic respondit deinde Gerenius eques Nestor,
" Profectò ego tibi, fili, vera omnia dicam:
" Enimverò quidem hæc ipse suspicaris, quemadmodum reverà accidit:
" Si viventem Ægisthum in ædibus invenisset
" Atrides, à Trojâ profectus, flavus Menelaus;
" Sanè ei neque mortuo fusilem terram intudisset,
" Sed certè canesque & aves comedissent
" Jacentem in campo procul ab urbe; neque ulla ipsum
" Deplorasset Achivarum; valdè enim ingens admisit facinus.
" Nos quidem illic *in Trojâ* multa obeuntes certamina,
" Assidebamus; ille interim desidiosus in tecella Argi equos pascentis
" Multùm Agamemnonidam uxorem demulsit verbis;
" Ipsa quidem antea certè abnuebat facinus indignum
" Diva Clytemnestra; mente enim utebatur bonâ;

Σ Χ Ο Λ Ι Α.

246. Ἰσάλλεσθ.] Ὁμοιῶται, φαίνεσθαι. Φαντασιοῦσθαι. Εἰσεῤῥάσθ.] Ὁρᾷν, ἀντὶ τοῦ ἐρᾶσθαι, βλέπουσι.

249. Μήσατ.] Εἰργάσατο. ἐπιχείρησε.

250. Δολόμητις.] Δόλια βουλευόμενος. Κτάνε.] Ἀπέκτεινεν, ἐφόνευσεν. Ἀρείω.] Βελτίονα.

251. Ἦ οὐκ Ἄργει ἦεν Ἀχαϊκῷ.] Ἆρα οὐκ ἐν τῷ Ἄργει ἦν τῷ Ἀχαϊκῷ;

254. Κατέπεφνεν.] Ἀπέλιπεν.

254. Ἀγορεύσω.] Λέξω, εἴπω.

256. Ἔπτμεν.] Κατέλαβεν.

257. Τροίηθεν.] Ἀπὸ τῆς Τροίας.

258. Χυτλώ.] Τῷ ἐπιχεομένῳ τῆς νεκρᾶς γῆν.

259. Οἰωνοί.] Σαρκοφάγοι ὄρνιθες. Κατέδαψαν.] Κατέφαγον.

261. Μέγα μήσατο ἔργον.] Νῦν μέγα τι καὶ χαλεπὸν ἐμελέτησε· ὃ ἐστιν ἔργον χαλεπὸν ἐμηχανήσατο.

261. Τελέσσας.] Ἐκτελέσας.

263. Μυχῷ Ἄργεος.] Τῷ ἐσχατίῳ μοίρᾳ τοῦ Ἄργους.

264. Θέλγεσκε.] Ἤπατα.

265. Ἔργον ἀεικές.] Τὸ μοιχείαν.

266. Δῖα Κλυταιμήστρη.] Δῖα, εὐγενής. ἀπὸ τοῦ μοιχεύεσθαι. Φρεσὶ γὰρ κέχρητ' ἀγαθῇσι.] Φρεσὶν ἀγαθαῖς.

Ν Ο Τ Æ.

246. Ὥς με μὴ ἀθανάτοις ἰσάλλεται) Κατ' ἐναντίωσιν ὁ Θάλητος. Προσδόκα δὲ τὸν ὄντως Θεὸν ἀχώριστον εἶναι. *Diog. Laert.* l. 1. §. 35.

251. Ἦ οὐκ Ἄργει ἦεν Ἀχαϊκῷ) Ἦ οὐκ ἦν ἐν τῇ Λακωνικῇ; Οὐ μόνον γὰρ Ἄργος, ἡ Πελοποννησος, ἀλλ' ἰδίως ἡ Λακωνικὴ, Ἄργος καλεῖται. *Eustath.* fol. 222. lin 16. Vid. *Nicolaum Cragium*, De *Lacedem.* Republ. l. 1. c. 1. & *Strabon.* Geograph. l. 8. fol. 365. & 369. De voce Ἀχαϊκὸν, vid. ad *Iliad.* i. v. 141.

Ν Ο Τ Æ Ι Ν S C H O L I A.

251. Ἀχαϊκῷ) Ità scribo & emendo pro corrupto Ἀχαϊῶν, ex MSto *Aloysii.*

V A R I Æ L E C T I O N E S.

251. Ἦ) γρ. ἢ. Ἀχαϊκῷ) γρ. Ἀχαϊκῇ, *Eustath.* fol. 1465. lin. 61. omittit *H. Steph.*

260. Ἄστ(ος) γρ. Ἄργ(ος), *H Steph.*

266. Κέχρητ') γρ. κέκρηγ', *Eustath.* fol. 1466. l. 36.

Πὰρ

Πὰρ γὰρ ἔλων κὴ ἀοιδὸς ἀνὴρ, ᾧ πολλ' ἐπέτελλεν
Ἀτρείδης, Τροίηνδε νεὼν, εἴξυθμα ἄκοιτιν.
Ἀλλ' ὅτε δὴ μιν μοῖρα θεῶν ἐπέδησε δαμῆναι,
Δὴ τότε τ' μὲν ἀοιδὸν ἄγων ἐς νῆσον ἐρήμην,
Κάλλιπεν οἰωνοῖσιν ἔλωρ κὴ κῦρμα γενέσθαι·
Τὴν δ' ἐπέλων ἐθέλουσαν ἀνήγαγεν οἶκόνδε δόμονδε.
Πολλὰ δὴ μηρί' ἔκηε θεῶν ἱεροῖς ἐπὶ βωμοῖς,
Πολλὰ δ' ἀγάλματ' ἀνῆφεν, ὑφάσματά τε, χρυσόν τε,
Ἐκτελέσας μέγα ἔργον, ὃ ὕπτιε ἤλπετο θυμῷ.
Ἡμεῖς μὲν γὰρ ἅμα πλέομεν Τροίηθεν ἰόντες,
Ἀτρείδης κὴ ἐγὼ, φίλα εἰδότες ἀλλήλοισιν·
Ἀλλ' ὅτε Σούνιον ἱερὸν ἀφικόμεθ', ἄκρον Ἀθηνῶν,
Ἔνθα κυβερνήτην Μενελάου φαίδιμον Ἀπόλλων
Οἷς ἀγανοῖς βελέεσσιν ἐπιχθόνιος κατέπεφνε,
Πηδάλιον μὲν χερσὶ θεύοντ' νηὸς ἔχοντα,
Φρόντιν Ὀνητορίδην, ὃς ἐπαίνυτο φῦλ' ἀνθρώπων
Νῆα κυβερνήσας, ὁπότε σπέρχοιεν ἄελλαι.

"Etenim aderat cantor vir, cui plurimùm mandârat
"Atrides, ad Trojam profecturus, servare uxorem.
"Sed cùm jam ipſam fatum deorum arrexit *ad hoc*, ut domaretur,
"Jam tum ipſum cantorem ducens in inſulam defertam,
"Deſeriquit avibus laniendam & prædam fieri;
"Ipſam verò volens volentem duxit ſuam in domum,
"Multa autem formora adolebat deorum ſuper ſacra altaria;
"Multáque Donaria ſuſpendit, veſtémque, aurúmque,
"Quòd perfecſſet magnum negocium, quod nunquam ſperâſſet in animo.
"Nos quidem ſimul navigabamus Troja profecti,
"Atrides *Menelaus* & ego, amica cognoſcentes invicem:
"Sed cùm ad Sunium ſacrum pervenimus, promontorium Atheparum,
"Illic gubernatorem Menelai Phœbus Apollo
"Suis ſuavibus telis ſuperveniens occidit,
"Clavum in manibus currentis navis gerentem,
"Phrontin Onetoridem; qui vincebat ſecula hominum
"In nave gubernandâ, quoties ingruebat procella.

ΣΧΟΛΙΑ.

267. Πὰρ γὰρ ἔλων κὴ ἀοιδός.] Συμπαιζει ὁ αὐτῇ κὴ ἀοιδός· τὸ γὰρ ἀρχαῖον, οἱ ἀοιδοὶ φιλοσόφων τάξιν ἐπεῖχον. Τινὲς δὲ, κακῶς νοήσαντες, τ' ἀοίδιμον ἀπέδοσαν.
268. Εἴρυσθ.] Φυλάττειν.
271. Κύρμα.] Ἐγκύρημα, ἐπίτευγμα.
273. Ἔκηε.] Ἔκαιεν.
274. Ἀγάλματα.] Ἀναθήματα. Ἀνῆφεν.] Ἀνέθηκεν. Ὑφάσματα.] Ἱμάτια ὑφαντά.
275. Ἔλπετο.] Ἤλπιζεν.
278. Σούνιον.] Ἀκρωτήριον τ' Ἀττικῆς. Ἱερὸν.] Ἱερὸν, τέμενος. Ἀφικόμεθα.] Παρεγενόμεθα. Ἄκρον Ἀθηνῶν.] Ἀπὸ τ' πόλεως τὴν Ἀττικὴν ἔχειν.
282. Φρόντιν Ὀνητορίδην.] Παρὰ τὸ φροντίζειν κὴ ἔνιοι εἶναι πάλλακα τὸ ὀνόματος. Ἐπαίνυτο.] Ἐνίκα. κυρίως δὲ τὸ καίνυσθαι τὸ κτείνασθαι νικῶσαι· καίνειν γὰρ τὸ φονεύειν ἐπὶ τὸ δὲ κατέχειν, ἀντὶ δὲ καπηλεύειν.

NOTÆ.

267. Πὰρ γὰρ ἔλων κὴ ἀοιδὸς) *Strabo*, l. 1. fol. 16. κὴ Ὅμηρος δὲ τοὺς ἀοιδοὺς συμφορητὰς εἴρηκεν, καθάπερ τ' τ' Κλυτταιμνήστρας φύλακας κλ. *Athenæ.* l. 1. fol. 14. Σαφὲς δὲ πῶς κὴ τὸ τ' ἀοιδῶν γένος κὴ φιλοσόφων ἀμφότερα ἐπεῖχεν. Vid. *Gisberti Cuperi* Apotheoſin *Homeri*, p. 115. *Euſtath.* fol. 1466. *Valeum* in Act. c. 8. v. 27. De Eunucho *Candaces*. Confer *Br. Schol.*

279. Ἔνθα κυβερνήτην) Qui ſuâ morte *Viri* cadebant, præſertim ſi inexpectatò, aut repentè, ab *Apolline* ſagittis petiti dicebantur; *Mulieres*, à *Dianâ*. Etiam, qui non morbo, ſed ætate; ut *Odyſſ* ε'. v. 408. Etiam, de Fœminâ, in Navigatione ſubitò morientè, *ibid.* v. 477. *Euſtath.* fol. 637. lin. 14. Ὅτι δὲ τῇ Ἀρτέμιδι, τυτὲ τῇ σελήνῃ, τὰς αἰφνιδίως ἀποθνήσκουσας τ' γυναικῶν ἀναπτήσεις ἡ Ἑλληνικὴ δέξα ἔφασκε ὁ Ἀπόλλων, ἥλιος, ἀντ. λέγω δὲ αὖθις διάκειται τὰς ἀοιδάς. Vid. etiam fol. 1467. lin. 152. Vid. *Turnebi* Adverſar. l. xi. c. viii. fol. 246. lin. 159. & *Everhardi Feithii*, Antiqu. *Homeric.* l. 1. c. 2. *Iſaac. Caſaubon.* Lection. *Theocrit.* c. x. in ipſo Fine.

NOTÆ IN SCHOLIA.

267. Πὰρ γὰρ ἔλων κὴ ἀοιδὸς) MSS. ἐλὼς, & ἐλοὶ legunt, in *Scholio*.
274. Quæ inter Ἀγάλματα & Ὑφάσματα, ponо,
id Duorum MSS. facio auctoritate.
282. Pro τὸ κλείνασθαι, Lego eadem auctoritate, τὸ κλείναι νικῆσαι, ut τὸ referatur ad νικῆσαι.

VARIÆ LECTIONES.

275. Ἤλπετο) γρ. ἔλπετο. *Br. Schol.* Verùm ἔλπετο ſonantius, & ſæpiùs in *Iliade* occurrit.
280. Ἀχαιϊὸς ἐλίσσων) γρ. ἀχαιῶν βίλεσσι, *H. Steph.* & alii Codd. verùm *Iliad.* α'. v. 759. ut hîc Nos.
283. Σκίφος) γρ. σκίμφος, *H. Steph.*

Ὡς ὁ μὲν ἔνθα κατέχεθ', ἑπαγόμενος ἦρ ἑταῖρον,
Ὄφρ' ἕταροι θάπτοιεν, ἠδ' ἐπὶ κτερίοις κτερίσειεν.
Ἀλλ' ὅτε δὴ καὶ κεῖνος, ἰὼν ἐπὶ οἴνοπα πόντον
Ἐν νηυσὶ γλαφυρῇσι, Μαλειάων ὄρος αἰπὺ
Ἵξε θεών, τόθι δὴ φυγερὴν ὁδὸν εὐρύοπα Ζεὺς
Ἐφράσατο, λιγέων δ' ἀνέμων ἐπ' ἀϋτμένα χεῦε,
Κύματά τε τροφόεντα, πελώρια, ἶσα ὄρεσσιν·
Ἔνθα δ' ὀλιγοστίχας, τὰς μὲν Κρήτῃ ἐπέλασσεν,
Ἧχι Κύδωνες ἔναιον, Ἰαρδάνου ἀμφὶ ῥέεθρα.
Ἔστι δέ τις λιστὴ, αἰπεῖά τε εἰς ἅλα πέτρη,
Ἐσχατιὴ Γόρτυνος, ὅθι λαιψηρὸν πίτνῳ
Ἔνθα Νότος μέγα κῦμα ποτὶ σκαιὸν ῥίον ὠθεῖ
Ἐς Φαιστόν· μικρὸς δὲ λίθος μέγα κῦμ' ἀπέργει.
Αἱ μὲν ἄρ' ἔνθ' ἦλθον, σπουδῇ δ' ἅλυξαν ὄλεθρον
Ἄνδρες, ἀταρ νῆάς γε ποτὶ σπιλάδεσσιν ἔαξαν
Κύματ'· ἀταρ τὰς πέντε νέας κυανοπρῳρείους

" Sic ille quidem ille detentus eſt, feſtinabundus licet ad iter,
" Ut ſocium ſepeliret, & parentalia parentaret.
" Sed quando utique & ille vadens in obſcurum pontum
" In navibus cavis, Maleatum montem excelſum
" Pervenit curſendo, tum certè inviſum iter lato conſpectu Jupiter
" Decrevit: ſtridulorumque ventorum flatum effudit.
" Fluctuſque intumeſcebant ingentes, æquales montibus.
" Illic ſejungens *Jupiter* claſſem, has quidem *Naves* Cretæ admovit;
" Ubi Cydones habitabant, Jardani circa fluenta.
" Eſt autem quædam levis, præruptáque in mare petra,
" Ad fines Gortynis, in obſcuro ponto:
" Huc Auſter ingentem fluctum ad ſiniſtrum promontorium pellit
" Ad Phæſtum: parvulus autem lapis ingentem fluctum impedit.
" Illi quidem huc venerunt: vix autem effugerunt mortem
" Viri: cæterùm naves ſanè ad ſaxa fregerunt
" Fluctus: cæterùm quinque naves cæruleis-proris

ΣΧΟΛΙΑ.

284. Κατέχετο.] Ἐν λιμένι κατῆχθη.

285. Κτερίσειεν.] Ἐνταφιάσῃ.

277. Μαλειάων ὄρος.] Τὸ Μαλέαν λέγει, τὸ ἀκρωτήριον τῆς Λακωνικῆς.

289. Ἐφράσατο.] Ἐβουλεύσατο. Ἀϋτμένα.] Ἀρίστιχος τὸν αὔτμενα, ἀπὸ ὀρθῆς, ὃ αὔτμενον· αὔτμη γὰρ, ἡ πνοὴ ἡ σφοδρά. Χεῦε.] Ἔβαλεν.

290. Τροφόεντα.] Ὑψικόρυφα. Πελώρια.] Μεγάλα.

292. Κύδωνες.] Εἰσὶ Κρήτης, ἐκ Κυδωνίας πόλις Κρήτης, παρ' οἷς ἔχουσι Ἰάρδανον.

293. Ἔστι δέ τις λιστή.] Λεῖα πέτρα· ἢ καθὰ μυθολογοῦσι, εἶπεν ἐν τῷ νῦν κειμένῳ πρὸς τοῖς Κρησὶ, σὺν τῷ β'. Βλίστη. ἔστι δὲ ἀκρωτήριον τῆς Γορτυνίας· ὅθεν Κορήτης, σὺν τῷ ι. γράφει Λιστή.

294. Ἐσχατιὴ.] Ἐπὶ τῆς ἐσχάτης.

295. Σκαιὸν.] Δεινὸν, χαλεπὸν.

296. Φαιστόν.] Ἀκρωτήριον τῆς Γορτύνης, λέγει δὲ ἐν ἄλλῳ μικρῷ λίαν ἐπικλυζόμενον, ὡς εἴ βραχύ τις αὖρα γένηται· λέγει δὲ μετενεγκὼν ἐκ τῆς ὅλης, καί τι δὴ τότε μίγνυται ἐγείρουσι κύματα· ἀφ' οὗ, κατὰ τοῦτο τὸ μέρος εὐκινήτους εἰς θάλασσαν πέτρας εἶναί φασι τὰ κύματα. τινὲς δὲ τῶν Φαιστῶν, πόλιν τῆς Κρήτης λέγουσιν, ὅπου ἐγγύς ἐστιν Ἐπιμηνίδης. Μικρὸς δὲ λίθος μέγα κῦμα λύπησε.] Τὸ γὰρ ὑπὸ δ' τότε κύματι τῶν Φαιστῶν ἀν ἐκείνοις ἀλίμενον, εἰ μὴ εὐκινήτου ὁ λίθος ἐκώλυεν ἐκείνοις μέγα χείμαρρον κῦμα εὐκαταχειρώτους εἶναι αὐτοὺς τῶν κυμάτων· γράφεται δὲ, Μαλέης δὲ λίθος. Μάλιστα γὰρ ἐνομάζεται ἀπὸ τῶν Φαιστίων λιμένος ἀκρωτήριον. Ἀποίργει] Ἀποκαλύπτει.

297. Ἅλυξαν.] Ἐξέφυγον.

298. Σπιλάδεσσιν.] Παραλίοις πέτραις, παρὰ τὸ ἐσπιλῶσθαι· ἢ πρὸς καθὸ θάλασσαν εὐεπιλήπτους ἐν ὀλίγῳ ὕδατι. Ἔαξαν.] Ἔκλασαν.

NOTÆ.

290. *Κύματά τε τροφόεντα*) Vid. ad *Varias Lectiones.*

Ibid. Ἶσα ὄρεσσιν) Hinc *Virgil.* Æn. l. 1. v. 109.—
—præruptus aquæ Mons.

NOTÆ IN SCHOLIA.

290. Τροφόεντα) Ἠϊξάνοντα. Ità Duo MSS. *Aldus*, & Codex *Hervag.* quare procul ablego Codd. *Impreſſorum* delirium, τροφόεντα) ἠϊξάνοντα, quod evidenter corruptum, pro noſtrâ *Lectione*, aliàs enim αὐξάνοντα ſcriberetur. Vid. *Var. Lection.*

296. Ἄλλην μικρὸν, pro πλησὺν κυμάτων, lego, ex *Euſtathio* fol. 1469. lin. 13.

VARIÆ LECTIONES.

289. Ἐπ' αὔτμένα χεῦε) γρ. ἐπ' αὔτμενα χεύας, *H. Steph.*

290. Τροφόεντα) γρ. τροφόεντα, *H. Steph.* Τροφόεντα, MSS. *GC. Aloyſiuſque, Aldus*, & *Hervag. Br. Schol.* quæ *Lectio* videtur hîc proba & ſana; at in *Iliad.* ε'. v. 621. Τροφόεντα, vel τροφόεντα omnino legendum.

295. Περὶ γρ. ἐπὶ *H. Steph.*

296. Μικρὸς ὁ λίθος) γρ. Μαλέης ὁ λίθος, *Er. Schol.*

Αἰγύπιος

Αἰγύπτῳ ἐπέλασσε φέρων ἄνεμός τε καὶ ὕδωρ.
Ὡς ὁ μὲν ἔνθα πολὺν βίοτον καὶ χρυσὸν ἀγείρων,
Ἤλατο ξὺν νηυσὶν ἐπ' ἀλλοθρόους ἀνθρώπους.
Τόφρα δὴ ταῦτ' Αἴγισθος ἐμήσατο οἴκοθι λυγρά,
Κτείνας Ἀτρεΐδην· δέδμητο δὲ λαὸς ὑπ' αὐτῷ.
Ἑπτάετες μὲν ἄνασσε πολυχρύσοιο Μυκήνης·
Τῷ δέ οἱ ὀγδοάτῳ κακὸν ἦλυθε δῖος Ὀρέστης
Ἂψ ἀπ' Ἀθηνάων, κτεῖνε δ' ἔκτανε πατροφονῆα,
Αἴγισθον δολόμητιν, ὃς οἱ πατέρα κλυτὸν ἔκτα.
Ἦτοι ὁ τὸν κλείνας δαίσυ τάφον Ἀργείοισιν
Μητρός τε στυγερῆς καὶ ἀνάλκιδος Αἰγίσθοιο·
Αὐτῆμαρ δέ οἱ ἦλθε βοὴν ἀγαθὸς Μενέλαος,
Πολλὰ κτήματ' ἄγων, ὅσα οἱ νέες ἄχθος ἄειρον.
Καὶ σύ, φίλος, μὴ δηθὰ δόμων ἄπο τῆλ' ἀλάλησο,
Κτήματά τε προλιπών, ἄνδρας τ' ἐν σοῖσι δόμοισιν
Οὕτω ὑπερφιάλως· μή τοι κατὰ πάντα φάγωσι
Κτήματα δαισάμενοι, σὺ δὲ τηυσίλω ὁδὸν ἔλθῃς.
Ἀλλ' ἐς μὲν Μενέλαον ἐγὼ κέλομαί τε καὶ ὀτρύνω
Ἐλθεῖν· καὶ γὰρ νέον ἄλλοθεν εἰλήλουθεν
Ἐξ ἀνδρῶν, οὕς ἦ κε πλοῖτό γε θυμὸς
Ἐλθέμεν, ἄντινα πρῶτον ἀποφλήσωσιν ἄελλαι
Εἰς πέλαγος μέγα τοῖον· ὅθεν τέ περ οὐδ' οἰωνοὶ
Λυτόδετες οἰχνεῦσιν, ἐπεὶ μέγα τε, δεινόν τε.

" Ægypto admovit ferens ventusque & unda.
" Sic ille quidem illic plurimum victum & aurum congregans,
" Errabat cum navibus ad alterius-linguæ homines.
" Interea verò illa Ægisthus molitus est domi tristia,
" Occidens Atridem; subactus est etiam populus sub illo.
" Septennio itaque imperavit divitibus Mycenis:
" Illi verò octavo in anno malum & *vindex* venit divus Orestes
" Rursus ab Athenis: occidit autem patris interfectorem,
" Ægisthum dolosum, qui illi patrem inclytum interfecerat.
" Sanè hic cùm hunc occidit, dedit cœnam-sepulchralem Argivis
" Matrisque invisæ & imbecillis Ægisthi:
" Eopse verò die supervenit bello bonus Menelaus,
" Plurima dona ducens, quanta illius naves ob pondus portare poterant.
" At tu, amice, nè diutius à domo longè aberres,
" Bonisque relictis virisque in tuis ædibus
" Adeò superbis; nè tibi omnia absumant,
" Facultatibus divisis, tu verò inaniter feceris.
" Sed ad Menelaum quidem ego adhortor & consulo
" Proficisci; ille enim nupèr alicundè venit
" Ex illis hominibus, undè non sperarat in animo
" Redire, quemcunque primùm abegerint procellæ
" In pelagus tam vastum: unde utique nec aves
" Intra annum venire possunt, quoniam ingens, horrendumque.

ΣΧΟΛΙΑ.

302. Ἤλασε.] Ἔπλασε.
304. Δίδμητο.] Ἱππέμαστο.
307. Ἂψ ἀπ' Ἀθηναίων.] Ὅτε ἐπαιδεύετο.
309. Τόφρ'.] Τῶτε τ' Αἰγίσθοι. Δαίσυ.] Κατασκάψαι.
310. Μητρός τε στυγερῆς.] Φείδεται ἀφ' ὧν ὁ Ὀρέστης· τὸ μὲν γὰρ εὐφημότερον ἐποίησεν, ὅτι ἔθηψε τὸν μητέρα, τὸ δὲ ἀληθὲς παρεσιώπησεν. Ἀνάλκιδος.] Ἀθηνᾶς.
312. Ἄνεμοι.] Ἐβάστασαν.
313. Ἀλάλησο.] Πλανῶ.
314. Προλιπών.] Καταλιπών.
316. Τηυσίλω.] Ματαίαν.
318. Ἐλήλουθε.] Ἦλθε.
319. Ἐκ τῶν.] Ἐξ ἐκείνων. Ἔλποιτο.] Ἤλπιεν.
320. Ἀποφλήσωσιν.] Ἀποκρούσωσιν καὶ ἀποφαλίσωσιν πνεύσασαι.
322. Λυτόδετες.] Ἐν αὐτῇ τῇ ἴτ. Οἰχνεῦσι.] Περαιοῦνται.

NOTÆ.

308. Ὅς οἱ) Ità lego, pro ὅ οἱ. ut aliàs in eodem versu, ut. v. 300. & suprà, v. 198. etiam in aliis Edit. *Florent. Steph. Hervag. Castell. Cantab.* priori; quare ὃς restituo, ut *Aldina*, quanquam & aliàs ὁ, pro ὃς habet.

316. Τηυσίλω ὁδὸν ἔλθῃς) Vid. *Meric. Casaubon.* De nuperâ *Homeri* Editione, §. 1. p. 47, 48. Rectè *Br. Schol.* per ματαίαν reddunt; cum ad *Tobiæ Hebr.* referatur.

322. Λυτόδετος οἰχνεῦσιν· ἐπὶ μέγα τὸ δεινόπ) Ultima, Τ λυτόδετος producitur, in *Cæsurâ*. vi *Finalis* & *Toni*; ut τὸ etiam ante δεινὸς, ob δ'. ἐκβολὴν, ut ut. v. 203.

VARIÆ LECTIONES.

302. Νηυσὶν ἴπ') γρ. νηυσὶ κατ', *H. Steph.*
307. Ἂψ ἀπ' Ἀθηναίων) γρ. αὖψ' ἀπ' Ἀθηναίων, *H. Steph.* & ἂψ ἀπὸ Φαιήκων, *Eustath.* fol. 1469. lin. 38. non vidit *Steph.*

Ἀλλ'

Ἀλλ' ἴθι νῦν, σὺν νηΐ τε σῇ καὶ σοῖς ἑτάροισιν·
Εἰ δ' ἐξέλαις πεζὸς, πάρα τοι δίφρός τε καὶ ἵπποι,
Πὰρ δέ τοι υἷες ἐμοὶ, οἵ τοι πομπῆες ἔσονται
Ἐς Λακεδαίμονα δῖαν, ὅθι ξανθὸς Μενέλαος.
Λίσσεαι δέ μιν αὐτὸν, ἵνα τημερτὸν ὀίσσῃ·
Ψεῦδος δ' οὐκ ἐρέει· μάλα γὰρ πεπνυμένός ἐστιν.
Ὣς ἐφάμην· ἠέλιος δ' ἄρ' ἔδυ καὶ ἐπὶ κνέφας ἦλθε·
Τοῖσι δὴ καὶ μετέειπε θεὰ γλαυκῶπις Ἀθήνη,
Ὦ γέρον, ἦτοι ταῦτα κάρη κομόωντι ἔοικεν·
Ἀλλ' ἄγε, τάμνετε μὲν γλώσσας, κεράσατε δὲ οἶνον,
Ὄφρα Ποσειδάωνι καὶ ἄλλοις ἀθανάτοισι
Σπείσαντες, κείοιο μεδώμεθα· πὼς γὰρ ἄρηι.
Ἦλθε γὰρ φάος εἶχεν ὑπὸ ζόφον· οὐδὲ ἔοικε
Δίφρα θεῶν ἐν δαιτὶ θαασσέμεν, ἀλλὰ νέεσθαι.
Ἦ ῥα Διὸς θυγάτηρ, τοὶ δ' ἔκλυον αὐδησάσης.
Τοῖσι δὲ κήρυκες μὲν ὕδωρ ἐπὶ χεῖρας ἔχευαν,
Κοῦροι δὲ κρητῆρας ἐπεστέψαντο ποτοῖο·
Νώμησαν δ' ἄρα πᾶσιν ἐπαρξάμενοι δεπάεσσι·
Γλώσσας δ' ἐν πυρὶ βάλλον, ἀνιστάμενοί τ' ἐπέλειβον.
Αὐτὰρ ἐπεὶ σπεῖσάν τ', ἔπιόν θ', ὅσον ἤθελε θυμὸς,
Δὴ τότ' Ἀθηναίη καὶ Τηλέμαχος θεοειδὴς
Ἄμφω ἴεσθην κοίλην ἐπὶ νῆα νέεσθαι·
Νέστωρ δ' αὖ κατέρυκε καθαπτόμενος ἐπέεσσι,
Ζεὺς τόν γ' ἀλεξήσειε, καὶ ἀθάνατοι θεοὶ ἄλλοι,
Ὡς ὑμεῖς παρ' ἐμεῖο θοὴν ἐπὶ νῆα κίοιτε,

" Sed vade nunc cum navetuâ & tuis sociis:
" Aut si navelis per terram ire, aderit currusque & equi.
" Aderunt tibi etiam filii mei, qui tibi duces erunt
" Ad Lacedæmonem florentem, ubi flavus Menelaus.
" Precare autem eum ipsum, ut vera dicat:
" Mendacium tamen non dicet: valdè enim prudens est.
Sic ait: sol autem descendit & tenebræ advenerunt.
His verò & dixit dea cæsia Minerva,
" O senex, profectò hæc ex officio dixisti:
" Sed agite, dividite quidem linguas, & miscete vinum,
" Ut Neptuno & aliis immortalibus
" Ubi libaverimus, de lecto cogitemus; ejus enim hora adest.
" Jam enim lumen ivit sub occasum, neque decet
" Diu deorum in epulo sedere, sed redire.
Dixit sanè Jovis filia; hi verò audiverunt loquutam.
His quidem præcones aquam manibus intulerunt,
Juvenes autem crateras coronârunt vino;
Divisserunt autem omnibus, auspicati à poculis;
Linguas etiam in ignem conjecerunt, surgentesque libârunt.
Cæterùm postquam libârunt, biberuntque quantùm desiderabat animus,
Tum certè Pallas & Telemachus deo-similis
Ambo desiderabant cavam ad navem redire:
Nestor autem statim detinuit incessens verbis,
" Jupiter hoc prohibeat, & immortales dii alii,
" Ut vos à me celerem ad navem eatis,

ΣΧΟΛΙΑ.

324. Πάρα τοι.] Πάρεστι σοί.
325. Πομπῆες.] Πρόπομποί.
326. Δῖαν.] Εὐδαίμονα.
327. Ἐνίσσῃ.] Εἴπῃ.
332. Ταῖσιν ἐπὶ γλώσσας.] Ἔθος ἦν τοῖς παροῦσι τοὺς καταθύειν, ἢ ἱερεῖον τὰς γλώσσας ἀποτέμνειν, καὶ καίειν τοῖς θεοῖς, τὰς λόγους ἐπιτελοῦσι· διὸ καὶ ἐπὶ μόνης τῆς Νέστορος θυσίας εἴρηται τὸ ἔθος. εὔηθες γὰρ τὸ λέγειν, σύντεμε τὰς λόγους· λέγει δὲ ὁ Ἀττικὸν εἶναι τὸ ἔθος, λαβόντων τὴν ἀρχὴν σύντεμε. Κερᾶσσε δέ.] Ἀντὶ τοῦ κέρνατε.
334. Κείοιο.] Κείοις, ὃ ἐστιν ὕστερον.
335. Ζόφον.] Τὸ σκότος. Οὐδὲ ἔοικεν.] Οὐ σχέσιν ἔχει.
336. Θοὴν ἐπὶ νῆα.] Καθέσαι, ἀποτεῖψαι.
337. Αὐδησάσης.] Εἰπούσης.
344. Ἰέσθην.] Ὥρμησαν.
345. Καθαπτόμενος.] Φιλοφρονούμενος.
346. Ζεὺς τόν γ' ἀλεξήσειε.] Τὸ ὑμᾶς χωρισθῆναι ἀπ' ἐμοῦ, ὃς πειρᾶται, ἢ ἀπειλοῦντος. Ἀλεξήσειε.] Ἀπείρξειε, κωλύσειεν.
347. Κίοιτε.] Ἀπέλθοιτε.

NOTÆ.

331. Κατὰ μοῖραν) Ultima ᾶ καὶ producitur, in *Cæsurâ*, vi *Toni* sui. & ante μ'.

NOTÆ IN SCHOLIA.

345. Ἡμᾶς scribo, pro ἐμᾶς, quod malè in *Impressis*; ὑμᾶς enim in *Textu*, *Aldinâ*, & MSS. 2.

VARIÆ LECTIONES.

335. Οἴχεθ') γρ. ὄχεθ'.

Ὡς

Ὥστε τεῦ ἢ παρὰ πάμπαν ἀεικέος, ἠὲ πενιχρῦ,
Ὧι ὔτε χλαῖναι καὶ ῥήγεα πόλλ' ἐνὶ οἴκῳ,
Οὔτ' αὐτῷ μαλακῶς, ὔτε ξείνοισιν, ἑεύδειν.
Αὐτὰρ ἐμοὶ πάρα μὲν χλαῖναι καὶ ῥήγεα καλά.
Οὐ θὴν δὴ τῦδ' ἀνδρὸς Ὀδυσσῆος φίλον υἱὸν
Νηὸς ἐπ' ἰκριόφιν καταλέξεσθαι, ὄφρ' ἂν ἔγωγε
Ζάω· ἔπειτα δὲ παῖδες ἐνὶ μεγάροισι λίπωμαι,
Ξείνους ξεινίζειν, ὅστις κ' ἐμὰ δώματ' ἵκηται.
Τόνδ' αὖτε προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη,
Εὖ δὴ ταῦτά γ' ἔφηθα, γέρον φίλε· σοὶ δὲ ἔοικε
Τηλέμαχον πείθεσθαι, ἐπεὶ πολὺ κάλλιον ὅπως.
Ἀλλ' ὅδε μὲν τῦν σοι ἅμ' ἕψεται, ὄφρα κεν εὕδῃ
Σοῖσιν ἐνὶ μεγάροισιν· ἐγὼ δ' ἐπὶ νῆα μέλαιναν
Εἶμι, ἵνα θαρσύνω τ' ἐτάρους, εἴπω τε ἕκαστα·
Οἷος γὰρ μοῦ τοῖσι γεραίτερος εὔχομαι εἶναι,
Οἱ δ' ἄλλοι φιλότητι νεώτεροι ἄνδρες ἕποντο
Πάντες ὁμηλικίη μεγαθύμου Τηλεμάχοιο.
Ἔνθα κε λεξαίμην κοίλῃ παρὰ νηὶ μελαίνῃ
Νῦν· ἀταρ ἠῶθεν μετὰ Καύκωνας μεγαθύμους
Εἶμι, ἔνθα λοιός μοι ὀφέλλεται, οὔτι νέον γε,
Οὐδ' ὀλίγον· σὺ δ' τῦτον, ἐπεὶ πὸν ἵκετο δῶμα,
Πέμψον σὺν δίφρῳ τε καὶ υἷϊ· δὸς δέ οἱ ἵππους,
Οἵ τοι ἐλαφρότατοι θέειν, καὶ κάρτος ἄριστοι.
Ὣς ἄρα φωνήσασ' ἀπέβη γλαυκῶπις Ἀθήνη,

"Tanquam ab aliquo vel prorsus veste carenti, aut pauperculo,
" Cui neque veles & operimenta multa domi;
" Ut neque ipsi molliter, neque hospitibus, dormiendi copia sit.
" Cæterùm mihi adsunt veles & operimenta pulchra:
" *Sin minus*, nequaquam illius Viri Ulyssis charus filius
" Navibus in tabulatis pernoctaverit, dum ego
" Vixero, prætereáque liberi in regiâ linquantur,
" Qui hospites suscipiant, quicunque ad domum meam perveniet.
Hunc rursus alloquuta est dea cæsiis Minerva,
" Benè sanè hæc dixisti, senex amice; et verò decet
" Telemachum fidere, quoniam longè melius sic.
" Verùm ille quidem nunc te sequatur; ut dormiat
" Domi tuæ: ego autem ad navem nigram
" Vado, ut confirmem socios præcipiámque singula:
" Solus enim inter illos senior glorior esse:
" Alii verò ob amicitiam juniores viri secuti sunt
" Omnes æquales ætate magnanimi Telemachi.
" Illic utique dormiam cavâ in navi nigrâ
" Nunc: sed manè ad Cauconas magnanimos
" Vado, ubi debitum mihi debetur, neque adeò novum,
" Neque parvum: tu verò hunc, quandoquidem tuam pervenit domum,
" Mitte cum curru & filio: da etiam illi equos,
" Qui tibi celerrimi currendo & robore fortissimi.
Sic certè loquuta abiit cæsiis oculis Minerva,

ΣΧΟΛΙΑ.

348. Ἀεικέος.] Μὴ κεκτημένου ἱματίων.
349. Ῥήγεα.] Βαπτὰ ἱμάτια καὶ ἐμβάλματα· ῥῆξαι γὰρ οἱ ἀρχαῖοι ἔλεγον, τὸ βάψαι.
350. Μαλακῶς.] Ἁπαλῶς, ἀντὶ τοῦ, ἐν ἁπαλοῖς.
351. Παύρους.] Πάρεσιν.
352. Τῦδ' ἀνδρός.] Ἤτοι ἀναφορικῶς, τοῦ Ὀδυσσέως· ἢ τῦδε ἀνδρός, δεικτικῶς, ἀντὶ τοῦ ἐμοῦ.
353. Ἐπ' ἰκριόφιν.] Ἐπὶ τὸ καταστρώματος καὶ σανιδώματος τῆς νεώς. Καταλέξεσθαι.] Κοιμηθῆναι.
354. Λίπωμαι.] Καταλειφθῶσι.
355. Ξεινίζειν.] Ξενοδοχεῖν, φιλικῶς ὑποδέχεσθαι.
357. Ἔφηθα.] Εἶπες.
359. Εὕδῃ.] Κοιμᾶται.
361. Θαρσύνω.] Παρορμήσω, θαῤῥεῖν ποιήσω.
362. Γεραίτερος.] Παλαιότερος.
365. Λεξαίμην.] Κοιμηθείην.
366. Μετὰ Καύκωνας.] Νῦν τὸ εἰς Ἀργολίδα μίσωπται· ἐκεῖ γὰρ ἡ Ἀχαιὰ ὡς τὸ Μενέλαον, εἰς τὸ Τηλεμάχῳ, ἀφικνεῖται, διότι μάμμη ἐπιπλῶντο υἱῶ ἐ θ. μετὰς Μενελάου. Ἀλκτεμέα γὰρ τοῦτον ἡ Ἀχαιᾶ.
367. Ὀφέλλεται.] Ὀφείλεται, χρεωστεῖται.

NOTÆ IN SCHOLIA.

349. Ἀρχαῖοι, pro Ἀχαιοί, scribo, nec sine 2 MSS. auctoritate, etiam *Eustathius* in locum, fol. 1471 lin. 55. Καὶ τὸ ῥῆξαι, ἀντὶ τοῦ βάψαι, ὡς δηλοῦσιν, ὡς φασιν οἱ Παλαιοί.

VARIÆ LECTIONES.

367. Ὀφέλλεται) γρ. ὀφείλεται, *Strabo*, l. 8. fol. 526. *Ibid.* Οὔτι νέον γε) γρ. Ἤλιδι εἴῃ, *Strabo*, qui *Cauconas*, à Fluvio *Eudis*, *Caucone*, dictos vult.

Φήμῃ εἰδομένῃ· θάμβος δ' ἕλε πάντας ἰδόντας
Θαύμαζεν δ' ὁ γεραιὸς, ὅπως ἴδεν ὀφθαλμοῖσιν·
Τηλεμάχου δ' ἕλε χεῖρα, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζεν,
Ὦ φίλος, οὔ σε ἔολπα κακὸν καὶ ἄναλκιν ἔσεσθαι,
Εἰ δή τοι νέῳ ὧδε θεοὶ πομπῆες ἕποντο.
Οὐ μὲν γάρ τις ὅδ' ἄλλος Ὀλύμπια δώματ' ἐχόντων,
Ἀλλὰ Διὸς θυγάτηρ ἀγελείη Τριτογένεια,
Ἧτοι καὶ πατέρ' ἐσθλὸν ὃν Ἀργείοισιν ἐτίμα.
Ἀλλὰ, Ἄναξ, ἵληθι, δίδωθί μοι κλέος ἐσθλὸν,
Αὐτῷ, καὶ παίδεσσι, καὶ αἰδοίῃ ἀλόχοιπ·
Σοὶ δ' αὖ ἐγὼ ῥέξω βοῦν ἰθῦν, εὐρυμέτωπον,
Ἀδμήτην, ἣν οὔπω ὑπὸ ζυγὸν ἤγαγεν ἀνήρ.
Τὴν τοι ἐγὼ ῥέξω, χρυσὸν κέρασιν περιχεύας.
Ὣς ἔφατ' εὐχόμενος· τοῦ δ' ἔκλυε Παλλὰς Ἀθήνη.
Τοῖσιν δ' ἡγεμόνευε Γερήνιος ἱππότα Νέστωρ,
Υἱάσι, καὶ γαμβροῖσιν, εἰς ἀγλαὰ δώματα καλά.
Ἀλλ' ὅτε δώματ' ἵκοντο ἀγακλυτὰ τοῦ ἄνακτος,
Ἑξείης ἕζοντο κατ' κλισμούς τε θρόνους τε.
Τοῖς δ' ὁ γέρων ἐλθοῦσιν ἀνὰ κρητῆρα κέρασσεν
Οἴνου ἡδυπότοιο, τὸν εἰνεκάτῳ ἐνιαυτῷ
Ὤιξεν ταμίη, καὶ ἀπὸ κρήδεμνον ἔλυσε.
Τοῦ ὁ γέρων κρητῆρα κεράσσατο· πολλὰ δ' Ἀθήνῃ
Εὔχετ' ἀποσπένδων, κούρῃ Διὸς Αἰγιόχοιο.
Αὐτὰρ ἐπεὶ σπεῖσάν τ', ἔπιόν θ', ὅσον ἤθελε θυμὸς,
Οἱ μὲν κακκείοντες ἔβαν οἶκόνδε ἕκαστος·
Τόνδ' αὐτοῦ κοίμησε Γερήνιος ἱππότα Νέστωρ
Τηλέμαχον, φίλον υἱὸν Ὀδυσσῆος θείοιο,

Aquilæ similis: stupor adeò invasit omnes videntes.
Admiratus etiam est senex, postquam vidit oculis:
Telemachi itaque prehendit manum, verbumque dixit, & loquutus est:
" O amice, non te opinor ignavum & imbellem fore,
" Siquidem te juvenem sic dii ductores sequuntur.
" Non enim quisquam hic alius cœlestes domos habitantium,
" Quam Jovis filia prædatrix Pallas,
" Quæ tibi & patrem pium inter Græcos honorabat.
" Quare, Regina, propitia sis; da item mihi gloriam bonam,
" Mihi ipsi & filiis & venerandæ uxori:
" Tibi autem ego sacrificabo bovem anniculam, lata-fronte,
" Indomitam, quam nullus dum sub jugum duxit vir.
" Hanc tibi ego sacrificabo, aurum cornibus circumfundens.
Sic ait supplicans, hunc autem audivit Pallas Minerva.
Illis itaque præibat Gerenius eques Nestor,
Filiis & generis suis, ad suas ædes pulchras.
Sed postquam ad domum venerunt inclytam regis,
Ordine sedebant per sediliáque thronósque.
Iis verò senex venientibus craterem miscuit
Vini dulcis, quod undecimo anno
Aperuit ancilla, & operculum removit.
Hujus senex craterem miscuit; plurimùm verò Palladi
Supplicavit, libans filiæ Jovis Ægiochi
Cæterùm postquam libârunt biberuntque, quantum voluit animus,
Alii quidem dormiturientes abiêrunt ad domum singuli;
Hunc vero illic dormire fecit Gerenius eques Nestor
Telemachum, charum filium Ulyssis divini,

ΣΧΟΛΙΑ.

372. Φήμ.] Φήμη. εἶδος ὀρνέου, ὅμοιον αἰετῷ.
373. Θαύμαζεν δ' ὁ γεραιός.] Ὅτι νέῳ ὄντι τῷ Τηλεμάχῳ συνηκολούθησεν ἡ Ἀθηνᾶ.
375. Κακόν.] Δειλὸν, ἀσθενές.
376. Ἕπον θ'.] Ἠκολούθησαν.
380. Ἵλη θι.] Ἵλεως καὶ εὐμενὴς ἴσθι. Δίδωθι.] Δίδου παράσχου.
388. Ἀγακλυτά.] Ἄγαν ἐνδόξα.
392. Κρήδεμνον.] Τὸ πῶμα ἢ πῶμα, μεταφορικῶς.

NOTÆ.

378. Τεμπλείαι) De *Tritone* fluvio, & Τεμπὴ, *Caput*, vid. *Diodor. Sicul.* fol. 12. & quæ Nos ad *Euripid.* Ion. v. 872. & ad *Iliad. β'.* v. 39.
381. Παραλοιπ) Παραλοιπόι, παραλοίτιι, παραλοιπ, *Ultimâ* longâ. Sic. *Odyss. ν'.* v. 299. Μήτι τὰ κλέομαι καὶ κήδεται.

VARIÆ LECTIONES.

372. Εἰδομένῃ) γρ. ἐνδομένῃ.
378. Ἀγλείη) γρ. κυδίστη, *H. Steph.* & *Seberus.*
388. Ἵκοντο) γρ. ἵκανον.
392. Ὤιξεν) γρ. οἶξεν.

Τρη-

Τρηπῆς ἐν λεχέεσσιν, ὑπ' αἰθούσῃ ἐριδούπῳ·
Πὰρ δ' ἄρ' ἐϋμμελίῳ Πεισιστράτῳ, ὄρχαμον ἀνδρῶν,
Ὃς οἱ ἔτ' ἠίθεος παίδων ἦν ἐν μεγάροισιν·
Αὐτὸς δ' αὖτε καθεῦδε μυχῷ δόμου ὑψηλοῖο·
Τῷ δ' ἄλοχος δέσποινα λέχος πόρσυνε καὶ εὐνάς.
Ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠώς,
Ὦρτο δ' ἄρ' ἐξ εὐνῆφι Γερήνιος ἱππότα Νέστωρ·
Ἐκ δ' ἐλθὼν, καθ' ἄρ' ἕζετ' ἐπὶ ξεστοῖσι λίθοισιν,
Οἵ οἱ ἔσαν προπάροιθε θυράων ὑψηλάων,
Λευκοὶ, ἀποστίλβοντες ἀλείφατος· οἷς ἐπὶ μὲν πρὶν
Νηλεὺς ἵζεσκεν, θεόφιν μήστωρ ἀταλαίφρων·
Ἀλλ' ὁ μὲν ἤδη κηρὶ δαμεὶς ἄϊδόσδε βεβήκει.
Νέστωρ αὖ τότ' ἔφιζε Γερήνιος, ἶρος Ἀχαιῶν,
Σκῆπτρον ἔχων· περὶ δ' υἷες ἀολλέες ἠγερέθοντο,
Ἐξ θαλάμων ἐλθόντες, Ἐχέφρων τε, Στρατίος τε,
Περσεύς τ', Ἄρητός τε, καὶ ἀντίθεος Θρασυμήδης·
Τοῖσιδ' ἔπειθ' ἕκτος Πεισίστρατος ἦλυθεν ἥρως·
Πὰρ δ' ἄρα Τηλέμαχον θεοείκελον εἶσαν ἄγοντες.
Τοῖσιν μύθων ἦρχε Γερήνιος ἱππότα Νέστωρ,
Καρπαλίμως μοι, τέκνα φίλα, κρηήνατ' ἐέλδωρ,
Ὄφρ' ἦτοι πρώτιστα θεῶν ἱλάσσομ' Ἀθήνην,
Ἥ μοι ἐναργὴς ἦλθε θεὸς ἐς δαῖτα θάλειαν.
Ἀλλ' ἄγ', ὁ μὲν πεδίονδ' ἐκὶ βῶν ἴτω, ὄφρα τάχιστα

Tessellatis in lectis sub porticu sonanti:
Juxta eum verò bellicosum Pisistratum, principem Juvenum,
Qui ei adhuc caleb filiorum erat in regiâ;
Ipse verò reversus dormivit in secessu domus excelsæ:
Huic utique uxor Regina lectum præparaverat & cubile.
Quando autem manè-genita apparuit rosea-digitis aurora,
Surrexit quidem ex lecto Gerenius eques Nestor:
Egressusque sedit super politos lapides,

Qui illi erant ante fores excelsas,

Albi, resplendentes unguenti instar; quibus quidem antea
Neleus sedebat dius consiliarius æquiparandus:
At ille quidem jam fato domitus ad inferos descenderat.
Nestor autem tum insidebat Gerenius, custos Græcorum,
Sceptrum habens: circùm autem filii frequentes congregabantur,
Ex thalamis egressi, Echephronque, Stratiusque,
Perseusque, Aretusque, & divinus Thrasymedes:
His verò deinceps sextus Pisistratus venit heros:
Juxta verò Telemachum deo-similem collocârunt ducentes.
His demùm loqui cepit Gerenius eques Nestor,
" E vestigio mihi, filii chari, perficite desiderium:
" Ut certè primam deorum propitiem Palladem,
" Quæ mihi palàm venit dei ad convivium celebre.
" Verùm age, alius quidem rus causâ bovis eat, ut celerrime

ΣΧΟΛΙΑ.

399. Αἰθούσῃ.] Τῇ αὐλῇ ἤλιον παρεχούσῃ, παρὰ τὸ αἴθειν, τὸ καίειν, ὃ ἐστι φαίνειν. Ἐριδούπῳ.] Μεγάλως ἔχοντι ἀπηχείου ἀφ' ὧν τοὺς οἴκους, ἰχθυικῇ.
400. Ἐϋμμελίῳ.] Καλῶς τῇ μειλίᾳ χρώμενον. Ὄρχαμον.] Ἡγεμόνα.
401. Ἠίθεος.] Ὁ λίαν νεοπρεπεστάτην ἔτι ὄντα, ἵνα ἐπιτερπέστερον, ἠίθεος λέγῃ· ἔστι δὲ ἄγαμος.
403. Πόρσυνε.] Ἡτοίμαζεν.
408. Ἀποστίλβοντες.] Ἀπολάμποντες. Ἀλείφατος.] Λειπὰ τὸ οὖς· ἔστι γὰρ, οὖς ἱλαόν.
409. Ἵζεσκεν.] Ἐφῆζεν.
411. Ἔφιζε.] Ἐπεκάθητο.
416. Θεοείκελον.] Θεοῖς ὅμοιον. Εἶσαν.] Ἐκάθισαν.
418. Κρηήνατε.] Ἐπιτελέσατε.
419. Ἱλάσσομαι.] Ἐξιλεώσομαι.
420. Ἐναργὴς.] Φανερὸς. Θάλειαν.] Θαλλέιν τὴν αὔξειν ποιοῦσαν.
421. Ἴτω.] Βαδιζέτω.

NOTÆ IN SCHOLIA.

399. Αἰθούσῃ) In fine hujus *Scholii*, τὸ ἰχθυικῇ addo, prius in alium ex hoc loco divagatum.
416. Pro ἐκαίθοντο corrupto, lego ἐκάθευδε, ut MSS. prædicta.

VARIÆ LECTIONES

399. Ἐριδούπῳ) sc. ἐϊγδούπῳ, MSS. GC. & *Aloysii*.
402. Καρηῦδι) sc. καθηῦδε. Vid. ad *Iliad.* α'. v. 611.
416. Πὰρ δ' ἄρα Τηλέμαχον θεοείκελον εἶσαν ἄγοντες. Τοῖσιδὲ μύθων ἦρχε) sc. Πὰρ δ' ἄρα, κ.λ. Οἱ δ' ἐπὶ ἓν ἅρμα, ἀμαξάς τ' ἐλάσαντε. Τοῖσιδὲ μύθων, *H. Steph.*
421. Ἀλλ' ἄγ' ὁ μὲν) sc. ἀλλ' ἄγ' ὁ μὲ *Dioscorides* apud *Suidam*, v. Ὁμηρ.

Ἔλθησιν, ἐλάσῃ δὲ βοῶν ὑπερθυμόλεων ἀνήρ.
Εἷς δ' ἐπὶ Τηλεμάχου μεγαθύμου νῆα μέλαιναν
Πάντας ἰὼν ἑτάρους ἀγέτω, λιπέτω δὲ δύ' οἴους·
Εἷς δ' αὖ χρυσοχόον Λαέρκεα δεῦρο κελεύθω
Ἐλθεῖν, ὄφρα βοὸς χρυσὸν κέρασιν περιχεύῃ.
Οἱ δ' ἄλλοι μίμνετ' αὐτοῦ ἀολλέες· εἰπάτε δ' εἴσω
Δμωῇσιν κατὰ δῶμα, ἀγακλυτὰ δαῖτα πένεσθαι,
Ἕδρας τε, ξύλα τ' ἀμφί, καὶ ἀγλαὸν οἰσέμεν ὕδωρ.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἐποίτυον· ἦλθε μὲν ἀρ βοῦς
Ἐξ πεδίου, ἦλθον δὲ θοῆς περὶ νηὸς ἑταῖροι
Τηλεμάχου ἕταροι μεγαλήτορος· ἦλθε δὲ χαλκεύς,
Ὅπλα οἱ χερσὶν ἔχων χαλκήϊα, τέχνης
Ἄκμονά τε, σφῦραν τ', ἐϋποίητόν τε πυράγρην,
Οἷσίν τε χρυσὸν εἰργάζετο· ἦλθε δ' Ἀθήνη
Ἱερὴν ἀπίουσα· γέρων δ' ἱππηλάτα Νέστωρ
Χρυσὸν ἔδωκε· ὁ δ' ἔπειτα βοὸς κέρασιν περιχεύῃ
Ἀσκήσας, ἵν' ἄγαλμα θεὰ κεχάροιτο ἰδοῦσα.
Βοῦν δ' ἀγέτην κεράων Στρατίος καὶ δῖος Ἐχέφρων·
Χέρνιβα δέ σφ' Ἄρητος ἐν ἀνθεμόεντι λέβητι
Ἦλυθεν ἐκ θαλάμοιο φέρων· ἑτέρη δ' ἔχεν ὄλας
Ἐν κανέῳ· πέλεκυν δὲ μενεπτόλεμος Θρασυμήδης
Ὀξὺν ἔχων ἐν χειρὶ παρίστατο, βοῦν ἐπικόψων.
Περσεὺς δ' ἀμνίον εἶχε· γέρων δ' ἱππηλάτα Νέστωρ

"Veniat, adducátque bovem bubulcus vir.
" Unus ad Telemachi magnanimi navem nigram
" Omnes protectus socios adducat, relinquat tamen duos solos
" Unus iterum aurificem Laerceum huc jubeat
" Venire, ut bovis aurum cornibus circumfundat.
" Vos verò alii manere illic sedulò; dicite autem intùs
" Ancillis per domum augustam convivium apparare,
" Sedilitáque, lignaque undique, & limpidam afferre aquam.
Sic ait; illi certè omnes ministrabant: venit quidem bos
Ex agro, venerunt etiam celeri à nave æquatâ
Telemachi socii magnanimi; venit etiam faber
Arma in manibus tenens fabrilia, administra artis,
Incudemque malleumque benefactamque forcipem,
Quibus scilicet aurum faciebat: venit quoque Minerva,
Sacris pocitura: Senex autem eques Nestor
Aurum dedit: ille verò deinde bovis cornibus circumfudit
Aptans, ut devotam rem dea gauderet videns:
Bovem autem ducebant cornibus Stratius & divus Echephron;
Gutturniumque ipsis Aracus in floribus celato malluvio
Venit ex thalamo ferens: alteraque gestabat molas
In canistro: secutim autem bellicosus Thrasymedes
Acutam gestans in manu astabat, bovem cæsurus
Perseus autem vas *sanguini recipiendo* tenebat: senex a. eques Nestor

ΣΧΟΛΙΑ.

424. Λιπέτω.] Καταλιπέτω, ἐκπέτω. Οἴους.] Μόνους.
425. Κελεύθω.] Κελευσάτω.
426. Περιχεύῃ.] Περιβάλλῃ.
430. Ἐποίτυον.] Ἐτέρπον.
433. Ὅπλα.] Τὰ ἐργαλεῖα. Χαλκήϊα.] Χαλκευτικά. Πεφυγμένα τέχνης.] Οἷς ἡ τέχνη συμπεραίνεται.
436. Ἀντίθεος.] Μεγαλοψυχία.
440. Ἀνθεμόεντι.] Ποικίλῳ, ἀφ' οὗ τὸ ἐστεφανωμένον αὐτῷ ἐπιτέρπει.
441. Ὄλας.] Ἐλαιοβρύχους κελεύει.
442. Πέλεκυν.] Δίστομον ἀξίνην.
444. Ἀμνίον.] Ἔστι μὲν τὸ πᾶσαν περιέχουσα ἡ λέξις σημαίνει ἀγγεῖον, ὅπερ τὸ αἷμα ἐκ ἱερείου δέχεται. καλεῖται καὶ τὸ ἔντερον, ἀμνίον, ὅτι περιέχει καὶ μύους, ταῦτα ψυχάς· οἱ Ἀττικοὶ σφάγιον αὐτὸ καλοῦσι.

NOTÆ.

438. Ἵν' ἄγαλμα) Ἄγαλμα, πᾶν, ἀφ' οὗ τις ἀγάλλεται. Vid. ad *Euripid.* Helen. v. 269. & v. 1448. Malè olim per *simulacrum* vertebatur & hìc & suprà. v. 274.
444. Ἀμνίον) De hâc voce. *Etymolog.* M. *Suidas*, & *Eustath.* in locum, fol. 138. lin. 4. & 12. ubi & ἀμνίων *Apollodoro*, δάμνιον, *Nicandro* & *Theodoridæ*.

VARIÆ LECTIONES.

434. Εὐποίητον) γρ. ἐυπόιητον.
444. Ἀμνίον) γρ. αἰμνίον, & δάμνιον. Vid. ad *Textum*.

Χέρνι-

Χέρνιβά τ' ἀλοχύτας τε κατήρχετο· πολλὰ δ'' Αθήνη
Εὔχετ' ἀπαρχόμενος, κεφαλῆς τρίχας ἐν πυρὶ βάλλων.
Αὐτὰρ ἐπεὶ ῥ' ἠρᾶτο, καὶ ἀλοχύτας προβάλοντο,
Αὐτίκα Νέστορος υἱὸς, ὑπέρθυμος Θρασυμήδης,
Ἤλασεν ἄγχι παρεστὼς· πέλεκυς δ' ἀπέκοψε τένοντας,
Αὐχενίους, λῦσεν δὲ βοὸς μένος· αἱ δ' ὀλόλυξαν
Θυγατέρες τε, νυοί τε, καὶ αἰδοίη πολύμηλις
Νέστορος, Εὐρυδίκη, πρέσβα Κλυμένοιο θυγατρῶν.
Οἱ μὲν ἔπειτ' ἀνελόντες. ἀπὸ χθονὸς εὐρυοδείης
Εἶχον· ἀταρ σφάξεν Πεισίστρατος, ὄρχαμος ἀνδρῶν.
Τῆσδ' ἐπὶ ἐκ μέλαν αἷμα ῥύη, λίπε δ' ὀστέα θυμός,
Αἶψ' ἄρα μὶν διέχυθαν· ἄφαρ δ' ἐκ μηρία πάντα
Πάντα κατ' μοῖραν, κατά τε κνίσῃ ἐκάλυψαν,
Δίπλυχα ποιήσαντες· ἐπ' αὐτῷ δ' ὠμοθέτησαν·
Καῖε δ' ἐπὶ σχίζης ὁ γέρων, ἐπὶ δ' αἴθοπα οἶνον
Λεῖβε· νέοι δὲ παρ' αὐτὸν ἔχον πεμπώβολα χερσίν.
Αὐτὰρ ἐπεὶ κατὰ μῆρ' ἔκαη, καὶ σπλάγχν' ἐπάσαντο,
Μίστυλλόν τ' ἄρα τ' ἄλλα, καὶ ἀμφ' ὀβελοῖσιν ἔπειραν,
Ὤπτησάν δ', ἀκροπόρους ὀβελοὺς ἐν χερσὶν ἔχοντες·
Τοφρά δὲ Τηλέμαχον λοῦσεν καλὴ Πολυκάστη,
Νέστορος ὁπλοτάτη θυγάτηρ Νηληϊάδαο.
Αὐτὰρ ἐπεὶ λοῦσέν τε, καὶ ἔχρισεν λίπ' ἐλαίῳ,
Ἀμφὶ δέ μιν Φᾶρος καλὸν βάλετ' ἠδὲ χιτῶνα,

Aquamque molasque prælibavit: multisque Minervæ
Supplicavit auspicans: ex capite pilos in ignem jacens.
Cæterùm postquam precati sunt, & molas porrexerunt,
Statim Nestoris filius generosus Thrasymedes.
Impulit prope stans: securis autem abscidit nervos
Cervicales, solvitque bovis robur: ipsæ vero lætæ exclamabant
Filiæque nurusque, & pudica uxor
Nestoris Eurydice, maxima-natu Clymeni filiarum.
Illi quidem deinde corripientes cæsam bovem à terra spaciosâ
Tenebant: cæterùm jugulavit Pisistratus dux virorum.
Ex illâ postquam niger sanguis fluxit, reliquitque ossa animus,
Celeriter ipsam divisêrunt statim autem coxas exciderunt
Omnia ritè, insuperque omento cooperuerunt,
Bifariàm facientes; super ea verò cruda imposuerunt:
Torrebat autem super ligna senex, & insuper nigrum vinum
Libavit: juvenes verò juxta eum tenebât manib. verua-quinq;-cuspidũ:
Cæterùm postquam coxæ combustæ sunt, & viscera gustârunt,
Minutatimque dissecuerunt, aliâque verubus-transfixerunt,
Assârunt que, acuta verua in manibus tenentes:
Interea Telemachum lavit pulchra Polycaste,
Nestoris minima-natu filia Nelei filii.
Porro postquam lavit, & unxit pingui oleo,
Circaque ipsum indusium pulchrum jecit atque tunicam,

ΣΧΟΛΙΑ.

445. Χέρνιβά τ' ἀλοχύτας τε κατήρχετο.] Χερνίβων καὶ ἀλῶν ἀρχῶν ἤρχετο.
449. Ἤλασεν.] Ἔπαισεν. ἔκρουσεν. Τένοντας.] Παίζει τὰ ἀφαιρεθέντα νεῦρα Ὅμηρος τένοντας καλῶν.
450. Ὠλόλυξαν.] Μετὰ βοῶν εὔξαντο.
451. Νυοί.] Νύμφαι.
452. Πρέσβα.] Πρεσβυτέρα, ἢ ἔντιμος.
453. Ἀνελόντες.] Κυρίσαντες. Εὐρυοδείης.] Πλατείας ὁδοὺς ἐχούσης.
454. Ἔχον.] Κατέχον.
455. Ῥύη.] Ἔρρυσεν.
456. Διέχυθεν.] Καθὼς μέρη διῖλον. Τάμνοντες.] Διστέμνοντες, διαιροῦντες.
463. Ἀκροπόρους.] Ὀξεῖς. ἐστι τὸ ἄκρον ἀφ' οὗ τὸ περιφερὲς εὐχερῶς δίεισιν ἀφ' ὅλου τοῦ ὀξύτος.
465. Ὁπλοτάτη.] Νεωτάτη.
466. Λίπ' ἐλαίῳ.] Τῷ λιπαρῷ ἐλαίῳ.

NOTÆ.

450. Αἱ δ' ὠλόλυξαν) Quòd vox ὀλολύζω lætam in sacris præcipuè acclamationem notet. vid. *Meric. Casaubon.* de nuperâ *Homeri* Editione, §. 1. p. 38. & quæ Nos ad *Euripid.* Iphig. Taur. v. 1337. ad *Troad.* v. 1073. *Electr.* v. 691. & *Anacreon*, v. 634.

VARIÆ LECTIONES.

463. Ὤπλων) γρ. ὄπλων, in *Cantabr.* 2d. verùm ὄπλων suprà, v. 33. & hic ὄπλων *Florentin. Resciani. Lovanien. H. Stephan.* &c. Ὤπλων δ') γρ. ὄπλων τ'.

Ἔκ-

Ἐκ ῥ' ἀσαμίνθυ βῆ, δέμας ἀθανάτοισιν ὁμοῖος·
Πὰρ δ' ἄρα Νέστορ' ἰὼν καθ' ἄρ' ἕζετο, ποιμένι λαῶν.
Οἱ δ' ἐπεὶ ὤπτησαν κρέ' ὑπέρτερα, καὶ ἐρύσαντο,
Δαίνυθ' ἑζόμενοι· ἐπὶ δ' ἀνέρες ἐσθλοὶ ὄρουσαν,
Οἶνον ἐοινοχοεῦντες ἐπὶ χρυσείοις δεπάεσσιν.
Αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο,
Τοῖσίδε μύθων ἦρχε Γερήνιος ἱππότα Νέστωρ,
Παῖδες ἐμοί, ἄγε, Τηλεμάχῳ καλλίζυγας ἵππους
Ζεύξαθ' ὑφ' ἅρμαθ' ἅμιλλες, ἵνα πρήσσησιν ὁδοῖο.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα τῷ μάλα μὲν κλύον ἠδ' ἐπίθοντο·
Καρπαλίμως δ' ἔζευξαν ὑφ' ἅρμασιν ὠκέας ἵππους·
Ἐν δὲ γυνὴ ταμίη σῖτον καὶ οἶνον ἔθηκεν,
Ὅσσα τε, οἷα ἔδουσι διοτρεφέες βασιλῆες.
Αὐτὰρ ἄρα Τηλέμαχος θείοιο βήσατο δίφρου·
Πὰρ δ' ἄρα Νεστορίδης Πεισίστρατος, ὄρχαμος ἀνδρῶν,
Ἐς δίφρον τ' ἀνέβαινε, καὶ ἡνία λάζετο χερσί·
Μάστιξεν δ' ἐλάαν· τὼ δ' οὐκ ἄκοντε πετέσθην
Ἐς πεδίον, λιπέτην δὲ Πύλου αἰπὺ πτολίεθρον.
Οἵδε παρημέριοι σεῖον ζυγὸν ἀμφὶς ἔχοντες·
Δύσετό τ' ἠέλιος, σκιόωντό τε πᾶσαι ἀγυιαί.

F. lavacro exiit corpore, immortalibus ſimilis:
Apud Neſtorem verò profectus reſedit, paſtorem populorum:
Illi vero poſtquam aſſarunt carnes exteriores & extraxerunt,
Epulabantur ſedentes; deinde viri primarii ſurgebant,
Vinum infundentes in aureis poculis.
Cæterùm poſtquam potûs & cibi deſiderium amoverunt,
Inter illos ſermonem cœpit Gerenius eques Neſtor,
Filii mei, agite, Telemacho pulchros pilos habentes equos,
Conjungite ſub currum ducentes; ut conte ant iter.
Sic ait, hi certè illum ſtatim audierunt atque paruerunt:
Celeriter autem junxerunt ſub currum veloces equos:
Cuſtos vero ancilla panem & vinum impoſuit,
Obſoniaque, qualia edunt à Jove-nutrita reges.
Telemachus certè perpulchrum conſcendit currum;
Juxta eum verò Neſtorides Piſiſtratus, princeps Juvenum.
In currumque conſcendit, & habenas cepit manu:
Verberavitque ad impellendum; illi verò non inviti volabant:
Ad campum, reliquerunt autem Pyli arduam urbem.
Illi verò totâ die quatiebant jugum utrinque tenentes:
Cecidit que ſol, obumbrabantur que omnes viæ:

ΣΧΟΛΙΑ.

471. Ἐζόμενοι.] Καθιζόμενοι. Ὄρουσ.] Ὥρμων.
472. Ἐοινοχοεῦντες.] Κιρνῶντες.
476. Πρήσσησιν ὁδοῖο.] Ποιεῖνται εἰς τὴν ὁδόν.
480. Ὄψα.] Ἐδέσματα. Διοτρεφέες.] Ὑπὸ Διὸς τεθραμμένοι, εὐγενεῖς.
486. Σεῖον ζυγόν.] Παρεκδοχικῶς, ἀντὶ δὲ παρεστηκότα τὸ ἐστηγμένον, ἀντὶ δὲ ἄδηλον.

NOTÆ.

476. Ζεύξαθ' ὑφ' ἅρμασ' ἅμιλλες) Quanquam olim in omnibus ferè, quas vidi, Editionibus, ζεύξασθ' eſſet ſcriptum, Verſûs tamen periculo territus, auſus ſum τὸ σ'. delere: & *Homerus*, Odyſſ. ε'. v. 47. Ζεῦξον ὑφ' ἅρμαθ' ἅμιλλαν. Et infrà, v. 478. Καρπαλίμως ἔζευξαν ὑφ' ἅρμασιν ὠκέας ἵππους. *Euſtathii* Textus ζευξασθ', ut Nos, legit, & fol. 1477. lin. 29. Τὸ δὲ ἀνωτέρω τέτυ, Ζεύξαθ' ὑφ' ἅρματ' ἄμιλλες, ἃ πάνυ ἄδηλα, εἴτε ζεύξατε ὑφ' ἅρμαθα, εἴτε ἐπικῶς, ὑφ' ἅρμασι.

NOTÆ IN SCHOLIA.

472. Ἐοινοχοεῦντες) Ità pro οἰνοχοεῦντες. *Textûs* & MSStorum auctoritate.
486. *Euſtath* fol. 141. lin. 49. Ὅτι τὸ, Παρημέριοι σεῖον ζυγὸν ἀμφὶς ἔχοντες, ἀντὶ τοῦ ἐρρωμένως ἐπεῖχον τὸν ζυγὸν, ἢ ἐφεξῆς ἀλλὰ τοῦ παρεσταλμένοι τὸν ζυγὸν, ὑφ' ὃν εἶσι καὶ φασὶν οἱ Παλαιοί. ὅτι παρεκδοχικῶς ἐρρέθη ἀλλὰ τοῦ παρεστηκότα τὸ ἐστηγμένον, ἀντὶ δὲ ἄδηλον.

VARIÆ LECTIONES.

469. Πὰρ δ' ἄρα) γρ. παρ δ' ἄρ, *H. Steph.*
472. Ἐοινοχεῦντες) γρ. ἐν οἰνοχεῦντες, *Br. Schol.*
476. Ζεύξαθ' ὑφ') γρ. ζεύξασθ' ὑφ', in pluribus, verum Error. Vid. Not. in *Textum*. *Ibid.* Πρήσσησιν) γρ. πρήσσωσιν, *H. Steph.*
479. Ἔθηκεν) γρ. ἔχδωκεν, *H. Steph.*
484. Ἄγυιαι) γρ. αἴγυιαι, *H. Steph.*
487. Δύσετο) γρ. δύσατο, Vid. ad β'. v. 389. & infrà, v. 497.

Ἐς

Ἐς Φηρὰς δ' ἵκανο, Διοκλῆος ποτὶ δῶμα,
Υἱέος Ὀρσιλόχοιο, τὸν Ἀλφειὸς τέκε παῖδα.
Ἐνθάδε νύκτ' ἄεσαν· ὁ δὲ τοῖς παρὰ ξείνια θῆκεν.
Ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠώς,
Ἵππους τ' ἐζεύγνυντ', ἀνά θ' ἅρματα ποικίλ' ἔβαινον·
Ἐκ δ' ἴλασαν προθύροιο, καὶ αἰθούσης ἐριδούπου.
Μάστιξεν δ' ἐλάαν· τὼ δ' οὐκ ἄκοντε πετέσθην·
Ἵκοντ' ἐς πεδίον πυροφόρον· ἔνθεν ἔπειτα
Ἦσαν ὁδόν· τοῖον γὰρ ὑπέκφερον ὠκέες ἵπποι.
Δύσετό τ' ἠέλιος, σκιόωντό τε πᾶσαι ἀγυιαί.

Ad Pheras autem venerunt, Diocleis ad domum,
Filii Orsilochi, quem Alpheus genuit filium.
Ibi per noctem quieverunt: ille autem illis hospitalia apposuit.
Quando vero mane-genita apparuit roseis-digitus Aurora,
Equosque junxerunt, currusque pulchros conscenderunt:
Eque vestibulo agitârunt, & è porticu resonanti:
Flagellavit autem *Pisistratus*, ut irent: illi verò non inviti volabant.
Venerunt igitur in campum frugiferum: hic tandem
Perficiebant iter; tam gnavitèr currebant veloces equi.
Occidisque sol, inumbrabanturque omnes viæ.

ΣΧΟΛΙΑ.

488. Φηρὰς.] Φηραὶ, πόλις τῆς Ἠλείων Μεσσηνίας. οἱ δὲ τῆς Λακωνικῆς.
489. Ἀλφειός.] Ποταμὸς τῆς Ἠλιάδος.
490. Ἔασαν.] Ἀντὶ τοῦ ἐκοιμήθησαν.

495. Πυροφόρον.] Σιτοφόρον.
496. Ἦσαν.] Ἦσσον, διήρχοντο. Τοῖον γὰρ ὑπέκφερον.] Οὕτω γὰρ μὴ τάχως ἔτρεχον.

NOTÆ.

490. Ἐνθάδε νύκτ' ἄεσαν) Ἄεσαν, *Eustathius* per ἀνέπαυσαν semper exponit & per consequentiam, per ἐκοιμήθησαν. ὅτι οἱ κοιμηθέντες ἀναπαύονται καὶ ἀναπαύουσι τὴν ἀμειρῶν κάματον. Verbi ἄω, πίω, vel ἀΐω, ἀΐσω & ἀΐσω, unde ἄεμεν. *Hesych.* Ἀΐσαι) Ἀναπαῦσαι, κοιμηθῆναι.

495. Ἦσαν ὁδόν.) Ab ἄω, pro ἀΐω, priori longâ. Vid. ad β'. v. 58.

NOTÆ IN SCHOLIA.

488. Huc refert *Pausan.* in principio Μεσσηνιακῶν & *Strabon.* l. 8. fol. 367. quorum auctoritate putarem, pro ἴλαν, scribi Ἠλείων, nisi & Urbs esset *Messenia*, Ἕλος, unde Ἑλεάτης, de quâ *Homerus*, *Iliad.* β'. v. 584. Οἵτ' ἄρ' Ἀμύκλας εἶχον, Ἕλος τ', ἴφθιμον πτολίεθρον. Verùm cum & *Dioclis* Domus sit, in *Elide*, & *Alphæus*, illius Avus, sit Fluvius *Elidis*, Ἠλείων omninò legendum statuo.

VARIÆ LECTIONES.

488. Ἐς Φηρὰς δ') γρ. ἐς ἣ Φηρὰς ἵκοντο. Vid. *Var. Lect.* v. 296.

489. Ὀρσιλόχοιο) γρ. Ὀρτιλόχοιο, *Florentin. Roman. Hervagian. Rescian. Lovania, H. Stephan. Castellion.* etiam *Pausan.* in *Messeniacis* & *Strabo*, fol. 367. MSS. etiam omnia Ὀρτίλοχος semper scribunt. Nihilominùs Ὀρσίλοχος est *Vera Lectio*, quæ in *Iliade* semper, in omnibus Exemplaribus obtinet. *Ilias* autem paulò correctior esse solet *Odysseâ*. Et ità legitur *Odyss.* ο'. v. 187. & φ'. v. 16.

490. Ἐνθάδε) γρ. ἔνθα ἦ, & vice versâ. *Ibid.* Ὃ τῆς παρὰ ξείνια θῆκεν) γρ. ὁ δ' ἄρα ξείνια δῶκεν, *H. Steph.*

492. Ἵππους τ' ἐζεύγνυντ') γρ. ἵππους τὰ ζεύγνυντο.

494. Ἄκοντε) γρ. ἀίσσοντε, *H. Steph.*

497. Δύσετο] γρ. δύσατο, vid. suprà, ad v. 487.

ΤΗΣ

ΤΟΥ ΟΜΗΡΟΥ
ΟΔΥΣΣΕΙΑΣ

ΡΑΨΩΙΔΙΑ, ἢ ΓΡΑΜΜΑ, Δ'.

Ὑπόθεσις τῆς ῥαψῳδίας Δ.

Πρὸς Μενελάῳ ξενιζομένῳ τὸν Πισιστράτου Τηλέμαχον, ἀπαγγέλλει τὰ κατὰ τὸν Ἰθάκιλον τοῦ τ μνηστήρων πεκτόμενα· ἔπειτα ἐξηγεῖται αὐτῷ ὁ Μενέλαος περὶ τ Ἑλλήνων, καὶ τ Πρωτέως μαντείας, δι' ἧς ἔγνω τ Ἀχαιμένιον ζῶντα, καὶ ὡς Ὀδυσσεὺς παρὰ Καλυψοῖ εἴη. Βελὴ δ' γίνεται τ μνηστήρων, περὶ ὧν τ Τηλέμαχον κτεῖναι. Παραμυθεῖται δ' ἡ Ἀθηνᾶ δι' ὀνείρου τὴν Πηνελόπην, ἐπὶ τῇ τ παιδὸς ἀποδημίᾳ διαχειμάσασαν, ἀφ' εἰδώλου, ὁμοιωθέντος Ἰφθίμῃ, τῇ τ Πηνελόπης ἀδελφῇ.

Ἐπιγραφαί.

Ἄφιξις Τηλεμάχου εἰς Σπάρτην.

Ἄλλως.

Τὰ κὸ Λακεδαίμονι.

Ἄλλως.

Δίλπα, μαθ' ἁμφὶ πατρὸς πὰρ' Ἀτρεΐδαι, λοχαγῷ, υἱός. L 1 2. IV.

Οἳ δ' ἴξον κοίλην Λακεδαίμονα κητώεσσαν·
Πρὸς δ' ἄρα δώμαθ' ἕλων Μενελάου κυδαλίμοιο.
Τόνδ' εὗρον δαινύντα γάμον πολλοῖσιν ἑτῆσιν,
Υἱέος ἠδὲ θυγατρὸς ἀμύμονος, ᾧ ὁἱ οἴκῳ.
Τὴν μὲν Ἀχιλλῆος ῥεξήνορος υἱέϊ πέμπεν·

HI itaque venerunt cavam Spartam amplam:
Ad domum autem agebant Menelai glorioſi.
Hunc invenerunt exhibentem nuptiale-epulum multis civibus,
Ob nuptias filii atque filiæ inculpatæ, ſuâ in domo.
Hanc quidem Achillis bellicoſi filio mittebat:

Σχόλια.

Κοίλην Λακεδαίμονα.] Ἐπὶ ὑψηλοτάτης ὄρεσι κεκλιμένης. Ποτὲ μὲν τὴν πόλιν καλεῖ Λακεδαίμονα, ποτὲ δὲ τὴν χώραν Λακεδαίμονα, τὴν Σπάρτην.

2. Ἕλον.] Ἦλαυνον.

3. Δαινύντα.] Ἐσθίοντα. Ἕτησιν.] Πολίτικις.

5. Ῥεξήνορος.] Ἀνδρεῖα, δι' ἃς τ ἀνεψιᾶς ῥίπτουσι τὰς τάξεις.

Notæ.

Ἴξον) Vid. ad γ'. v. 5. & quæ Nos ad *Iliad.* α'. v. 773.

Ib. Κοίλην) Vid. ad *Il.* β'. v. 581. *Ib.* Κητώεσσαν) Ælian. Animal. l. 17. c. 6. Κήτη δὲ φασὶ Λάκωνες θάλαττάν τινα μεγίστῃ μίσγεσθαι. καὶ τινές γε τ Κελτικῶν τ Ὠκεανὸν εἰσπλεῖν εἰσὶν οἳ φασὶ, Λακεδαίμονα κητώεσσαν. *Strabo*, l. 8. fol. 564. Γράφοντες δὲ τ μὲν, Λακεδαίμονα κητώεσσαν. τ δὲ, κοιλόπεδον, ζητοῦσι, τὴν κητώεσσαν πῶς δέξασθαι χρὴ, εἴτε ἀπὸ τ κητῶν, εἴτι μεγάλην· ἔοικε δοκεῖ πιθανώτερον εἶναι· τὴν τι καπτώεσσαν, οἱ μὲν, Καλαμινθώδη δέχεσθαι· οἱ δὲ, ὅτι οἱ ἀπὸ τ σεσηπότων ῥοχθοί. καιτοι λέγουσι, καὶ καλόμενον τὸ διεσαπτόμενον εἰσιόντι. τὸ παρὰ Λακεδαιμονίοις αὐτόλεκτον εἶναι δὲ κόπις μᾶλλον τὴν τοιαύτην καλαμάβραν λέγειν φασὶν, ἀφ' ἧς τὸ, Φησὶν ὁμοκλέσαι. Εὔσταθος δὲ ὁ Λακωνικὴ καὶ δὴ τ Ταϋγέτου κορυφὴν τινα λαμπρὰν εἶναί τινες μυκηνιῶσιν. Vid. *Bochart.* Ἱεροζωϊκὸν, 1 Vol. fol. 861. lin. 17. *Athenæum*, hujus libri initium contrariorem merito exagitat *Caſaubon.* l. IV. c. 28 [illegible] 5.

Variæ Lectiones.

V. 1. Κητώεσσαν) γρ. καπτώεσσαν, *Zenodot.* apud *Euſtath.* fol. 1478. lin. 35. *Strabo* &c. Vid. Not. in *Textum.*

Ἐν

Ἐν Τροίῃ γὰρ πρῶτον ὑπέσχετο καὶ κατένευσεν
Δωσέμεναι· τοῖσιν δὲ θεοὶ γάμον ἐξετέλειον.
Τὴν ἄρ' ὅγ' ἔνθ' ἵπποισι καὶ ἅρμασι πέμπε νέεσθαι,
Μυρμιδόνων πρὸς ἄστυ πολυκλυτόν, οἷσιν ἄνασσεν·
Υἱεῖ δὲ Σπάρτηθεν Ἀλέκτορος ἦγετο κούρην,
Ὃς οἱ τηλύγετος γένετο κρατερὸς Μεγαπένθης
Ἐκ δμῳῆς· Ἑλένῃ γὰρ θεοὶ γόνον οὐκ ἔτ' ἔφαινον,
Ἐπειδὴ τοπρῶτον ἐγείνατο παῖδ' ἐρατεινὴν
Ἑρμιόνην, ἣ εἶδος ἔχε χρυσέης Ἀφροδίτης.
Ὣς οἱ μὲν δαίνυντο κατ' ὑψερεφὲς μέγα δῶμα
Γείτονες, ἠδὲ ἕταροι Μενελάου κυδαλίμοιο,
Τερπόμενοι· μέσῳ δέ σφιν ἐμέλπετο θεῖος ἀοιδός,
Φορμίζων· δοιὼ δὲ κυβιστητῆρε κατ' αὐτοὺς
Μολπῆς ἐξάρχοντες ἐδίνευον κατὰ μέσσους.

In Troiâ enim primùm spoponderat, atque annuerat
Dare: illis verò dii nuptias perficiebant.
Eam certè ipse illuc equis & curribus mittebat ire,
Myrmidonum ad urbem inclytam, quibus imperabat.
Filio autem ex Sparta Alectoris sustulit filiam,
Qui ei in senectute natus erat fortis Megapenthes
E servâ: Helenæ autem dii prolem non amplius dabant,
Ex quo semel genuerat filiam amabilem
Hermionem, quæ speciem habebat auteæ Veneris.
Sic hi quidem epulabantur per sublimem magnam domum
Vicini, & subditi Menelai gloriosi.
Oblectati: inter eos verò cantabat divinus cantor,
Citharam pulsans: duóque saltatores inter eos
Cantum auspicantes saltabant in medium.

ΣΧΟΛΙΑ.

7. Δωσέμεναι.] Δώσειν, παρασχεῖν.

9. Μυρμιδόνων ἄστυ.] Ἡ Ὁμηρικὴ μὲν Φθία καὶ Ἑλλὰς οἱ δὲ νεώτεροι Φαρσαλία.

10. Σπάρτηθεν.] Ἐκ τῆς Σπάρτης. Ἀλέκτορος κούρην.] Οἱ μὲν Ἰφιάνασσαν, οἱ δὲ Ἐχίμηλον λέγουσιν· τὴν δὲ Ἀλέκτορα γεγαμηκέναι Ἀργείῳ δὲ Πίλητι. Ἦγετο.] Ἐλάμβανεν.

11. Τηλύγετος.] Ἤτοι τηλοῦ τῆς ἡλικίας, τουτέστι σφόδρα νεώτατος τῶν γονέων γεγονὼς παῖς, μετ' ὀλίγον ἐπιτελεῖν ἐλπίζοντι πατράσιν, ἢ μονογενής· καθάπερ Τηλεμάχῳ τῷ Ὀδυσσεῖ καὶ Ὀρέστῃ τῷ Ἀγαμέμνονι. Μεγαπένθης.] Ἐκ δὲ ἐπόμβρου δῆλοῖ, ὅτι μὴ τῷ ἁρπαγῷ τοῦτον ἔσχεν.

12. Ἐκ δμῳῆς.] Οἱ μὲν κύριον τὸ Δμῶες· οἱ δὲ Τρῳάδες, τὸ κύριον αὐτῆς ὄνομα. Ἑλένῃ δὲ θεοὶ γόνον οὐκ ἔτ' ἔφαινον.] Πιθανῶς, ἵνα ἐπιπλήξωσι κἀκείνῃ· ἢ ἵνα ἐξ Ἀλεξάνδρου παῖδα μὴ σχῇ. οἱ δὲ νεώτεροι Ἑλένης μὲν καὶ Ἀλεξάνδρου Κόρυθον, καὶ Ἔλενον· ἐκ δὲ Μενελάου Νικόστρατον γεγενηκέναι.

16. Γείτονες ἠδὲ ἕται.] Γείτονες μὲν τῶν οἰκογενεῖς· ἕται δὲ φιλῶς, ἤτοι ξένοι, οἱ πολῖται· ἔστω γὰρ ἴσως μεγαλοψυχὸς ὁ γαμῶν.

17. Ἐμέλπετο.] Ἤδετο.

18. Κυβιστητῆρε.] Κυβισταὶ, ὀρχησταί.

19. Μολπῆς.] Τῆς παιδιᾶς. Ἐδίνευν.] Κυκλόσε ἐπεφέροντο· ἀρχῶνται.

NOTÆ.

8. Νίσσῃ) Ἁπλῶς, ἀντὶ δὲ περιούσῃ. Ità, νόστος, pro ἔλευσις, & νοστέω, pro ἔρχομαι. Vid. quæ Nos ad *Euripid.* Rhes. v. 427. & Helen. v. 481. & 897.

9. Μυρμιδόνων) De *Myrmidonibus*, vid. ad *Iliad.* β'. v. 684.

12. Ἐπειδὴ τοπρῶτον) Hic Versus ἀπίφανος dicitur, de quâ re, ad α'. v. 183. & θ'. v. 452.

17. Δοιὼ δὲ κυβιστητῆρε) Vid. ad *Iliad.* σ'. v. 605. Unde *Aristarchus* tumpsisse hæc dicitur, & ad hunc locum non benè posuisse, ab *Athenæo*.

NOTÆ IN SCHOLIA.

10. Ἦγε) Ἐλάμβανεν, MSS. *Gonvillo-Caiense* & *Aloysii Alemanni*.

12. Ἐκ δμῳῆς) Οἱ μὲν κύριον τὸ Δμῶες· οἱ δὲ Τρῳάδες· Τρῳὰς δὲ ἡ Τρῳάδη· τὸ κύριον &c. Ità MS. utrumque. *Apollodor.* Biblioth. l. 3. c. xi. §. 1. Μενέλαος μὲν οὖν ἐξ Ἑλένης Ἑρμιόνην ἐγέννησεν, καὶ παῖδα Νικόστρατον· ἐκ δὲ Δμῶος, Πλειείδης, γένος Αἰτωλίδος, ἣ καθάπερ Ἀκουσίλαός φησι, Τρῳάδος, Μεγαπένθη· ἐκ Κνωσίας δὲ τέκνα, καὶ Εὔμηλον, Ξενόδαμον. *Ibid.* Οἱ δὲ νεώτεροι) Mirum, cùm ipse *Hesiodus* sit hujus auctor sententiæ; ità enim *Sophocl.* Schol. ad *Electr.* v. 540. Ὅμως συμφωνεῖ τῷ Ἡσιόδῳ λέγοντι, Ἡ τίκτει Ἑρμιόνην δυσκλειτῷ Μενελάῳ· Ὀπυίουσι δ' ἔπειτα Νικόστρατον, ἔξοχον Ἄρηϊ. *Pausanias* quidem *Nicostratum* & *Megapenthes*, fratres ex *Menelao*, at non ex *Helenâ*, fol. 60. lin. 33. & fol. 102. lin. 24. Vid. *Er. Schol.* ad *Iliad.* γ'. v. 175. & *Eustath.* ad *Iliad.* fol. 303. lin. 27.

19. Ἐδίνευν) Male olim ἐκύκλουν &c. Emendamus ex utroque MSto.

VARIÆ LECTIONES.

12. Ἐκ δμῳῆς) γρ. Τρῳὰδος, MS. *Gonvillo-Caiense*. Fortè, per Appositionem.

Τὰ δ' αὖτ' ἐν προθύροισι δόμων αὐτώ τε καὶ ἵπποι,
Τηλέμαχός θ' ἥρως καὶ Νέστορος ἀγλαὸς υἱὸς,
Στῆσαν· ὁ δ' ἐν προμολῇσιν ἴδετο κρείων Ἐτεωνεύς,
Ὀπτὴρ θεράπων Μενελάου κυδαλίμοιο·
Βῆ δ' ἴμεν ἀγγελέων ἀμφὶ δώματα ποιμένι λαῶν·
Ἆσσον δ' ἰσάμενος ἔπεα πτερόεντα προσηύδα,
Ξείνω δή τινε τάδε, διοτρεφὲς ὦ Μενέλαε,
Ἄνδρε δύω, γενεὴ δὲ Διὸς μεγάλοιο ἔοικτον·
Ἀλλ' εἰπὲ, εἰ σφῶϊν καταλύσομεν ὠκέας ἵππους,
Ἦ ἄλλον πέμπωμεν ἰκανέμεν, ὅς κε φιλήσῃ.
Τόνδε μέγ' ὀχθήσας προσέφη ξανθὸς Μενέλαος,
Οὐ μέν νήπιος ἦσθα, Βοηθοΐδη Ἐτεωνεῦ,
Τοπρίν, ἀτὰρ μὲν νῦν γε, παῖς ὡς, νήπια βάζεις.
Ἦ μὲν δὴ καὶ ξεινήια πολλὰ φαγόντε
Ἄλλων ἀνθρώπων δεῦρ' ἰκόμεθ', αἴκε ποθὶ Ζεὺς
Ἐξοπίσω ἅδε πάσῃ δι' ὀϊζύος· ἀλλὰ λύ' ἵππους
Ξείνων, ἐς δ' αὐτὸς προτέρω ἄγε δαινυμένους.
Ὣς φάθ'· ὁ δ' ἐκ μεγάροιο διέσσυτο, κέκλετο δ' ἄλλους
Ὀπτῆρας θεράποντας ἅμ' ἑσπέσθαι ἑοῖ αὐτῷ.
Οἱ δ' ἵππους μὲν ἔλυσαν ὑπὸ ζυγῶ ἰδρώοντας·
Καὶ τοὺς μὲν κατέδησαν ἐφ' ἵππειοισι κάπῃσι,
Πὰρ δ' ἔβαλον ζειὰς, ἀνὰ δ' ἂρ κρῖ λευκὸν ἔμιξαν·
Ἅρμασι δ' ἔκλιναν προτὶ σίηπα παμφανόωντα,
Αὐτοὺς δ' εἰσῆγον θεῖον δόμον· οἱ δὲ, ἰδόντες

Forrò in veſtibulo ædium ipſique & equi,
Et Telemachus heros, & Neſtoris inclytus filius,
Steterunt: ipſe verò procurrens vidit præſtans Eteoneus,
Sedulus famulus Menelai gloriofi:
Ivitque celeriter annuncians per domos paſtori populorum:
Propè autem ſtans verba alata dixit,
" Hoſpites jam quidem hi, ô à-Jove-nutrite Menelaë,
" Viri duo, proſapiæ verò Jovis magni ſimiles ſunt.
" Sed dic, ſi ipſis ſolvere debeamus veloces equos,
" Aut ad alium mittamus ire, qui eos amet.
Hunc graviter ingemiſcens alloquutus eſt flavus Menelaus,
" Non quidem ſtultus eras, Boëthoïda Eteoneu,
" Antea, cæterum nunc quidem puer veluti prætrita loqueris.
" Protecto jam nos, tu & ego, hoſpitalia multa ubi edimus
" Aliorum virorum huc venimus; ſi alicubi Jupiter
" In poſtremum ſaltem liberârit ab arumnâ: ſed ſolve equos
" Hoſpitum, ipſos verò deinde introduc ad epulandum.
Sic ait: ille verò ex ædibus prorupit, vocabat etiam alios
Fidos famulos unà ſequi ſeipſum.
Hi verò equos quidem ſolverunt ſub jugo ſudantes:
Et hos quidem alligârunt ad equina præſepia,
Apponebant autem avenas & hordeum album commiſcuerunt:
Currus verò poſuerunt ad parietes pellucidos;
Ipſos autem duxerunt in magnificam domum: hi utique videntes

ΣΧΟΛΙΑ.

22. Προμολῇσιν.] Προμολῆσι. Ἴδετο.] Ἐθεάσατο. Κρείων.] Ἐξοχώτατος καὶ ἀξιόλογος.
23. Ὀπτῆρος.] Σπουδαῖος, ἀσκητής. Θεράπων.] Ὑπηρέτης φίλος, ὁ σὺν τῷ δεσπότῃ ὑπάρχων.
24. Ἀγχίλεως.] Ὀφείλων ἀπαρχίτης.
26. Ξείνω δή τινε.] Εἰσαγόμενος μόνῳ σοὶ ξένοις Μενελάῳ ἀφ' ὧν συμβουλεύεις τοῖς ξένοις.
27. Γενεὴ.] Γενητὴ, γάρ. Ἔοικτον.] Ἐοίκασιν.
28. Σφῶϊν.] Αὐτοῖς.
29. Ἄλλον.] Πρὸς ἄλλον. Ἰκανέμεν.] Παραγενέσθαι. Φιλήσῃ.] Φιλικῶς ὑποδέξηται.
35. Ἐξοπίσω.] Εἰς ὕστερον, εἰς τὸ μὴ πᾶσι.
36. Θοινηθῆναι.] Εὐωχηθῆναι.
40. Κάπῃσι.] Φάτναις· ἄλλως δὲ ἀπὸ τοῦ κάπτειν, κεκοφισμέναις.
41. Ζειὰς.] Ὀλύρας.

NOTÆ IN SCHOLIA.

26. Προβουλεύσας) Ità lego, pro ἐπιβουλεύσαι. ex *Aloyſii* MSto, cùm & MS. GC. προβουλεύσεσθαι, ierat.
27. Γενεὴ) MSS. legunt, Γενὴν, καὶ Γένεσι) γάρ.
28. Σφῶϊν) Αὐτοῖς. MSS. αὐτῶν.
35. Ἐς ὕστερον. MSS. ἐξ ὑστέρου.

VARIÆ LECTIONES.

26. Τάδε) *al.* τόγε. *H. Steph.*
27. Γενεὴ) *al.* ἦσαν, MSS. *Aloyſii* & *GC.* Vid. Not. in *Schol.*
28. Εἶκτον) *al.* εἶκτον, *H. Steph.*
38. Ἀμφ' ἑσπέσθαι) *al.* ἅμα σπέσθαι, *H. Steph.* Vid. Not. ad χ'. v. 323.

Θαύ-

Θαύμαζον κ᾽ δῶμα διοτρεφέος βασιλῆος.
Ὡς γὰρ ἠελίου αἴγλη πέλεν ἠὲ σελήνης,
Δῶμα κατ᾽ ὑψερεφὲς Μενελάου κυδαλίμοιο.
Αὐτὰρ ἐπεὶ τάρπησαν ὀφθαλμοῖσιν ὁρώμενοι,
Ἐς ῥ᾽ ἀσαμίνθους βάντες εὐξέστας λόεσθον.
Τὼ δ᾽ ἐπεὶ οὖν δμῳαὶ λοῦσαν καὶ χρῖσαν ἐλαίῳ,
Ἀμφὶ δ᾽ ἄρα χλαίνας εἵλας βάλον ἠδὲ χιτῶνας,
Ἕς ῥα θρόνους ἕζοντο παρ᾽ Ἀτρεΐδην Μενέλαον.
Χέρνιβα δ᾽ ἀμφίπολος καλῇ καταχεύατο φαγχόῃ
Καλῇ, χρυσείῃ, ὑπὲρ ἀργυρέοιο λέβητος,
Νίψασθαι· παρὰ δὲ ξεστὴν ἐτάνυσσε τράπεζαν.
Σῖτον δ᾽ αἰδοίη ταμίη παρέθηκε φέρουσα,
Εἴδατα πολλ᾽ ἐπιθεῖσα, χαριζομένη παρεόντων·
Δαιτρὸς δὲ κρειῶν πίνακας παρέθηκεν ἀείρας
Παντοίων· παρὰ δὲ σφι τίθει χρύσεια κύπελλα.
Τὼ καὶ δεικνύμενος προσέφη ξανθὸς Μενέλαος,
Σίτυ θ᾽ ἅπτεσθον, καὶ χαίρετον· αὐτὰρ ἔπειτα
Δείπνου παστάμενοι, εἰρησόμεθ᾽, οἵ τινες ἐστὲ
Ἀνδρῶν· οὐ γάρ σφωΐ γε γενεὴ ἀπόλωλε τοκήων,
Ἀλλ᾽ ἀνδρῶν γενεὴ ἐστὲ διοτρεφέων βασιλήων,
Σκηπτούχων· ἐπεὶ οὔ κε κακοὶ τοιοίδε τέκοιεν.
Ὡς φάτο· καὶ σφιν νῶτα βοὸς παρὰ πίονα θῆκεν
Ὀπτ᾽ ἐν χερσὶν ἑλών, τά ῥά οἱ γέρα πάρθεσαν αὐτῷ·
Οἱ δ᾽ ἐπ᾽ ὀνείαθ᾽ ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.
Αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἔντο,
Δὴ τότε Τηλέμαχος προσέφη Νέστορος υἱόν,
Ἆσσον ἀκὼν κεφαλῇ, ἵνα μὴ πυθοίατ᾽ οἱ ἄλλοι,
Φράζευ, Νεστορίδη, τῷ ἐμῷ κεχαρισμένε θυμῷ,

Admirabantur per domum à-Jove-nutritis regis :
Instar enim solis splendor erat atque lunæ,
Domum per excelsam Menelai gloriosi.
Cæterùm postquam saturati sunt videndo oculis,
Ad labra descendentes perpolita lavabant.
Hos postquam igitur ancillæ lavârunt & unxerunt oleo,
Circaque chlamas villosas posuerant atque tunicas,
In thronos collocârunt juxtà Atridem Menelaum.
Aquam autem ancilla in guttumo suâ extulit terens,
Pulchro, aureo, super argenteo lebete,
Ad lavandum : juxtáque politam extendit mensam.
Cibum verò veneranda promiconda apposuit terens,
Fercula multa imponens, de rebus præsentibus largiens :
Coquus autem carnium lances proposuit sublatas
Diversarum : ipsisque apposuit aurea pocula.
Hos etiam datâ dextrâ alloquutus est flavus Menelaus,
" Cibumque gustate, & gaudete : cæterùm deinde
" Cibo saturati, interrogabimus, quinam sitis
" Virorum : non enim vestrorum utique genus evanuit parentum,
" Sed virorum genus estis à-Jove-nutritorum regum,
" Sceptrifierorum : quoniam neutiquam ignavi hujusmodi parere possunt.
Sic ait, & ipsis terga bovis pinguia apposuit
Assata in manibus capiens, quæ sibi dona apposuerant ipse.
Illi verò ad cibos paratos appositos manus extendebant.
Cæterùm postquam potûs & cibi desiderium ademerunt,
Jam tum Telemachus alloquutus est Nestoris filium,
Propè admovens caput ; nè audirent alii,
" Considera, Nestoride, meo gratissime animo,

ΣΧΟΛΙΑ.

59. Δεικνύμενος.] Δεξιούμενος.
61. Εἰρησόμεθα.] Ἐρωτησόμεθα.
62. Οὐ γάρ σφωΐ γε γενεή.] Σὺν τῷ ι γραπτέον, ὑπὸ σφῶιν, δίχως· ὁ γὰρ ἀφανῶν ἐστὶ χρόνων.
64. Κακοί.] Δηλοῖ, ἀσθενεῖς. Τέκοιεν.] Γεννήσειεν.
66. Τὰ ῥά οἱ.] Ἅπερ δὴ αὐτῷ. Πάρθεσαν.] Παρέθηκαν.
71. Φράζευ.] Νῦν ἀντὶ τοῦ. ἄκρ.

NOTÆ.

71. Τῷ ἐμῷ κεχαρισμένε θυμῷ) *Virgil. Æn. l. XII. v. 142.* Animo gratissime nostro.

NOTÆ IN SCHOLIA.

64. Γεννήσειεν) Ità, pro γράψειεν, duo MSS.

VARIÆ LECTIONES.

60. Σίτυ θ᾽ ἅπτεσθον) *Ms. Steph.* σίτυ ἅμ᾽ ἅπτεσθον, *H. Steph.*
61. Παστάμενοι — οἵ τινες) *Ms. Steph.* παυστάμενοι — ἅ τινες, *H. Steph.*
62. Γενεὴ) *Ms. Steph.* γόνος, *H. Steph.*

Χαλκῷ τε στεροπὴν καλλήματα ἠχήεντα,
Χρυσῷ τ', ἠλέκτρῳ τε, καὶ ἀργύρῳ, ἠδ' ἐλέφαντι.
Ζηνός που τοιάδε γ' Ὀλυμπίῳ ἔνδοθεν αὐλή.
Ὅσσα τάδ' ἄσπετα πολλά· σέβας μ' ἔχει εἰσορόωντα.
Τὸν δ' ἀγορεύοντα ξύνιετο ξανθὸς Μενέλαος,
Καί σφεας φωνήσας ἔπεα πτερόεντα προσηύδα,
Τέκνα φίλ', ἦτοι Ζηνὶ ῥητῆρι οὐκ ἄν τις ἐρίζοι·
Ἀθάνατοι γὰρ τῷγε δόμοι καὶ κτήματ' ἔασιν.
Ἀνδρῶν δ' ἤκεν τίς μοι ἐρίσσει, ἦε καὶ οὐκί,
Κτήμασιν· ἦ γὰρ πολλὰ παθὼν καὶ πολλ' ἐπαληθεὶς

" Æriſque ſplendorem, per domum ſonantem,
" Aurique, electrique, & argenti, atque eboris:
" Jovis nimirum talis eſt Olympii intùs aula.
" Quanta hæc pretioſa quam multa! Admiratio me capit intuentem.
Hunc ita alloquentem intellexit flavus Menelaus,
Et ipſos compellans, verba alata dixit,
" Filii chari, haud ſanè cum Jove mortalium ullus contenderit:
" Immortalia enim hujus habitacula & res ſunt.
" Hominum verò ſive aliquis mihi contendat e poſſe, ſive minus,
" Opibus, certè plurima paſſus & multùm erratus

ΣΧΟΛΙΑ.

72. Σπεροπήν.] Ἔκλαμψιν. Ἠχήεντα.] Μεγάλα.

76. Ἔνιστο.] Σωπᾶκιν, ἔκυσεν.

80. Ἐρίσσειε.] Φιλονεικήσῃ.

81. Ἐπαληθείς.] Πλανηθείς· οἱ δὲ ἐπὶ τὰς ἀληθεῖς Αἰγυπτίους. ὅτι μεγάλας ἴμπτερος.

NOTÆ.

72. Καδδώματα.) Ità pro ϵ δώματα lego. Quicunque enim ſatis attentè perpenderit, τὸ στερόπην referri, ad χαλκῷ, χρυσῷ, ἠλέκτρῳ, ἐλέφαντι, mirabitur, quid καὶ δώματα, quæ prior erat *Lectio* ſignificet, & mecum fortè agnoſcet, καδδώματα potiùs legendum, ut ſuprà, ad v. 45. & 46. Ὥστε καὶ ἠελίῳ &c. Δῶμα καθ' ὑψηρεφές. Certè mos erat, ante *Typographicam* inventam, Unum aliquem Doctum hominem multis Scribis eodem tempore prælegere; undè plurimæ Voces, ex Vocalium & Literarum conſimilis ſoni malè acceptâ & conceptâ notione, in Exemplaribus temerè mutatæ. At in hujuſmodi Erroribus Antiquitas plurimum Veritati obſtat; nec enim Omnes vident, & Pauci contra flumen audent navigare. Huc refer *Plinii*, l. 33. c. 4. Et *Electro* auctoritas, *Homero* teſte, qui *Menelai* Regiam Auro, Electro, Argento, Ebore, fulgere tradit. *Sam. Bochart.* Ἱερόζω. 2 Vol. l. 6. c. 16. fol. 871. De *Electro*, ubi ex *Ariſtophanis* Scholiaſt. pro ὕαλος, poni ab *Homero*.

74. Ζηνός που τοιάδε γ' Ὀλυμπίῳ ἔνδοθεν αὐλὴ) Hanc Lectionē defendit *Ariſtarchus* contra *Seleucum*; ut *Athenæ.* l. 5. fol. 189. & ex eo *Euſtath.* fol. 1483. lin. 39. qui negabat, ullibi apud *Homerum* vocem Αὐλὴ ſignificare *Palatium Regium*, at potiùs, πόπον τινὰ ἀμφιτέθραν, ὅ ἐστι ὑπαίθριον, ἀπὸ τῆς μεγάλης αὐλῆς. Ὅμηρος δέ, φησι, τῇ Αὐλῇ αὐτὶ πόπου ἐπὶ τοῦ ὑπαίθρου τόπου, ἔνθα ἦν ὁ Ἑρκεῖος Ζηνὸς βωμός· ὁ μὲν γὰρ Πηλεὺς καθαλαμβάνεται. Αὐλῆς δὲ χόρτος ἔχει ὁ χεόμενος ἄλσεσι. Σπένδων αἴγειρε εἶναι ἐπ' αἰθρίοις ἱερεῖσι. Ὁ δὲ Πεισάνδρος. Αὐλῆς δὲ χόρτοις κυλινδόμενος κατὰ κόσμον· καὶ ὁ Ὀδύσσεως σφενδόνῃ πῆς ἐφὶ τ Φαίαξι, Ἀλλ' ἐξελθόντες μεγάροιο τῷ παιζόντων, Ἐκ φόνου εἰς αὐλὴν. Et verè quidem in his locis, ut *Seleucus* ait, *Homerus* apertum locum, per αὐλὴν ſignificat; nec minùs tamen manifeſtè, quod *Ariſtarchus* ait, in aliis locis idem per Αὐλὴν, *Palatium* notat, ut in hoc ipſo, Ζηνός που τοιάδε γ' Ὀλυμπίῳ ἔνδοθεν αὐλή. Quem locum *Seleucus* longè aliàs profert, nè hanc Αὐλῆς ſignificationem cogatur admittere, viz. Ζηνός που τοιοῦτα δόμοις ἐν κτήμασι κεῖται, quâ *Lectione*, in hoc loco nihil abſurdius; licet bene intrà, v. 127. Αἰγυπτίης, ὅθι πλεῖστα δόμοις ἐν κτήμασι κεῖται. Alius etiam locus hanc noſtram aſſertionem confirmat, viz. α'. v. 425. ὅθι οἱ ἡλάμβρος ἑξακοσίας αὐλῆς Ὑψηλὰς ἐτέθηκε. In quem locum *Euſtath.* Αὐλὴ μὲν κυρίως πᾶν ἐπ' ἀμφιπόρου, ὅ ἐστι, ὑπαίθρου, ἀπὸ τ μεγάλων οἴκων· ϵ Αἰλαὶ, τὰ βασίλεια, ἀφ' τὸ μεγάλως ἔχειν ἀπὸ τ οἴκων ὑπαίθρους τόπους· Σωνεκδοχικῶς δ. ἡ ἔλη οἰκία, ἐν τῷ, Ζηνός που τοιάδε γ' Ὀλυμπίῳ ἔνδοθεν Αὐλή. Vid. *Iſaac. Caſaubon.* in locum *Athenæi.* fol. 335. *Gerard. Croiſius*, Ὁμήρου Ἑβραΐου. p 423. Poeta alludit ad interius Atrium, ſive *Sanctuarium*, Tabernaculi, quod erat in *Iſraele*, in quo Deus dicebatur verſari, quod quidem ſplendidiſſimum fuit.

NOTÆ IN SCHOLIA.

75. Ἄσπετα.) Πολλά. Hoc *Pſeudo Scholion* deleo; quòd utræque voces ſint in *Textu*.

VARIÆ LECTIONES.

72. Καδδώματα) ϰ. τὰ δώματα, vid. Not. in *Textum*.

74. Ζηνός που τοιάδε γ' Ὀλυμπίῳ ἔνδοθεν αὐλὴ) ϰ. Ζηνός που τοιοῦτα δόμοις ἐν κτήμασι κεῖται, *Seleucus*, vid. Not. ad *Textum*.

76. Ξύνιε) ϰ. ξύνιεν, malè ut *Euſtath.*

78. Τέκνα φίλ', ἦτοι Ζηνὶ βροτῶν) ϰ. τέκνα φίλα. Ζηνὶ μὲ βροτῶν, *H. Steph.* incogitanter ductâ *Interpretatione*, pro *Variâ Lectione*. *Ibid.* Βροτῶν) ϰ. βροτῷ, *Gerard. Creſ.* p. 423.

Ἡγα-

Ἠγαγόμην δ' ἐν νηυσί, καὶ ὀγδοάτῳ ἔτεϊ ἦλθον
Κύπρον, Φοινίκην τε, καὶ Αἰγυπτίους ἐπαλήθεις,
Αἰθιοπάς θ' ἱκόμην, καὶ Σιδονίους, καὶ Ἐρεμβούς,
Καὶ Λιβύην, ἵνα τ' ἄρνες ἄφαρ κεροὶ πλέονται.
Τρὶς γὰρ πίειέ μῆλα τελεσφόρον εἰς ἐνιαυτόν·
Ἔνθα μὲν ἔπι ἄναξ ἐπιδευὴς, οὔτε τι μηλῶν,
Τυρῶ καὶ κρειῶν, οὐδὲ γλυκεροῖο γάλακτος·
Ἀλλ' αἰεὶ παρέχουσιν ἐπιτροχόωντα γάλα ἕκαστοι.
Ἕως ἐγὼ ταῦτ' εἰς εἶνα πολὺν βίοτον συνάγεσκον
Ἠλάστην, τέως μοὶ ἀδελφεὸν ἄλλος ἔπεφνε,
Λάθρη, ἀνοΐστι, δόλῳ ὑλομανέος ἀλόχοιο·
Ὡς ὅτι χαίρων τοῖσδε κτεάτεσσιν ἀνάσσω.
Καὶ πατέρων τάδε μέλλετ' ἀκουέμεν, οἵ τινες ὔμμιν
Εἰσίν· ἐπεὶ μάλα πολλ' ἔπαθον, καὶ ἀπώλεσα οἶκον,
Εὖ μάλα ναιετάοντα, κεχασμένα πολλὰ καὶ ἐσθλά.
Ὧν ὄφελον τεὐκτῖλω περ ἔχων ἐν δώμασι μοῖραν

" Vectus in navibus & octavo demum anno veni domum:
" Cyprum, Phœnicemque, & Ægyptios oberrans,
" Æthiopasque adii, & Sidonios, & Erembos,
" Et Libyam, ubi agni protinùs cornuti sunt.
" Ter enim pariunt oves per annum integrum:
" Ibi quidem neque herus indigens est, neque pastor
" Casei & carnium, neque dulcis lactis:
" Sed semper præbent per-totum-annum lac mugendum.
" Dum ego in his partibus multas facultates colligens
" Errabam, interea mihi frater alius interfectus,
" Clàm, insperatò, dolo perniciosæ uxoris.
" Adeò neutiquam gaudens istis facultatibus impero.
" Et ex patribus illa debebatis audivisse, quicunque vobis
" Sunt; quando quidem valdè multa passus sum, & perdidi domum,
" Perquam bene habitatam, continentem multa & preciosa.
" Quorum utinam debuissem vel tertiam habens in domo partem

ΣΧΟΛΙΑ.

83. Αἰγυπτίους.] Ἐπὶ τοὺς Αἰγυπτίους.

84. Ἰκόμην.] Παρεσχόμην. Σιδονίους.] Τοὺς παρὰ τῇ Ἐρυθρᾷ θαλάσσῃ λέγει· ὅθεν μετῴκησαν οἱ Φοίνικες. Ἐρεμβούς.] Τοὺς Τρωγλοδύτας, παρὰ τὸ εἰς τὴν ἕρεβον δύνειν· οἱ δὲ τοὺς Ἰνδοὺς, παρὰ τὸ Ἔρεβος· μέλανες γάρ εἰσι καὶ Κράτης ἐρεμνοὺς γράφει. οἱ δὲ ἴδιον ἔθνος. ἔνιοι δὲ τοὺς Ἄραβας, καὶ μεταχαράττουσι ὕστερον Αἰθίοπας θ' ἱκόμην. ἐς Σιδονίους, Ἄραβάς π.

85. Ἄφαρ κεροί.] Ταχέως φύεσθαι λέγει τὰ κέρατα. οἱ δὲ ἐπίτηδες τὸ ἀρνῶν τὸ κεροί. Τινὲς δὲ τὸ ἄφαρ, ὅτι ταχέως καὶ ἀρρώστως γίνονται.

86. Τρὶς γὰρ πίειε μῆλα.] Ἄλλοτε ἄλλα, ἢ διὰ ὅλου πιαῦταί εἰσιν αἱ χῶραι, ὡς οὐσῶν ἡμῶν μόνων τῶν ἔω.

87. Ἐπιδευὴς.] Ἐνδεὴς.

89. Ἐπιστάμενον.] Ἐπιπλὴν, ἄφθονον. Θαλάσσῃ.] Κυρίως μὲν τὸ θαλάσσῃ· νῦν δὲ τὸ ἀμείλιγμα εἶπεν, παρὰ τὸν θαλίην.

91. Ἠλώμην.] Ἐπλανώμην. Τεὸς.] Τετιμημένος.

92. Ἀνοΐστι.] Ἀνεπιστήτως, ὅτι μηδὲ ἐπιστήσατο τινά.

95. Καὶ ἀπώλεσα οἶκον.] Ἀμφίβολον, πότερον τὸν ἑαυτοῦ ἢ τὸν Πρωτέως.

96. Κεχασμένα.] Χωρίτικα.

ΝΟΤΑ.

Ἀγνοεῖ δὲ Ὅμηρος τὴν Ἀσίαν, ὡς καὶ τὸν Εὐφράτην. Hoc est, Earum Nomina nusquam memorat, licet ipse magnam *Asiæ* & *Europæ* partem descripserit, *Europæque Agenoris* filiæ meminerit, in *Eustath.* v. 78.

90. Ἕως ἐγὼ κεῖθι κτλ.) *Amphibrachys*, in *Primo* loco, pro *Dactylo* ἐπιδινέμεν, ut *Iliad. α'.* v. 193.

95. Ἀπώλεσα οἶκον) Quicquid *Br. Schol.* τὸ ἴδιον ἰωνικῶς φησί, ità enim, v. 97. Ὧν ὄφελον τεὐκτῖλω περ ἔχων ἐν δώμασι μοῖραν Ναίειν.

NOTÆ IN SCHOLIA.

86. Τειαῦταί εἰσιν) MS. *Aloysii* πιαῦται, pro αὐταὶ &c.

89. Θαλάσσῃ) Ità pro corrupto ἁλάσσῃ, ex MSS.

95. Πέπρον) MS. *Aloysii* ità, pro κεκτῆσθαι, *Sensu* maximè flagitante.

VARIÆ LECTIONES.

84. Καὶ Ἐρεμβούς) γρ. Ἄραβάς π. *Zeno. Crates*, & *Posidonius*, καὶ ἐρεμνούς. Vid. Not. in *Textum*, & *Eretria Scholia*.

90. Ἕως ἐγὼ) γρ. εἶος ἐγὼ, *Hervag.* Edit. 1551.

94. Ὑμῖν) γρ. ἡμῖν, *H. Steph.*

95. Πόλλ' ἔπαθον) γρ. πολλὰ πάσχων, *H. Steph.*

Ναίειν,

Νωΐτεν, οἱ δ' ἄνδρες σῶοι ἔμμεναν, οἱ τότ' ὄλοντο
Τροίῃ ἐν εὐρείῃ, ἑκὰς Ἄργεος ἱπποβότοιο.
Ἀλλ' ἔμπης πάντας μὲν ὀδυρόμην ἠδ' ἀχεύων,
Πολλάκις ἐν μεγάροισι καθήμενος ἠματίοισιν,
Ἄλλοτε μὲν τε γόῳ φρένα πέρπομαι, ἄλλοτε δ' αὖτε
Παύομαι· αἶψηρὸς γὰρ ἔπεισ' ἄχος ὃς περ ἐόντων.
Τῶν πάντων ἕνεκα τόσσον ὀδύρομαι, ἀχνύμενός περ,
Ὡς ἑνός, ὅστε μοὶ ὕπνον ἀπεχθαίρῃ καὶ ἐδωδήν·
Μνωομένῳ· ἐπεὶ οὔτις Ἀχαιῶν τόσσ' ἐμόγησεν,
Ὅσσ' Ὀδυσεὺς ἐμόγησε καὶ ἔπλητο· τῷ δ' ἄρ' ἔμελλεν
Αὐτῷ κήδε' ἔσεσθαι, ἐμοὶ δ' ἄχε' αἰὲν ἄλαστα
Κείῃ, ὅππως δὴ δηρὸν ἀπέσσεται. ὠδέ κ' ἴδοιμι,
Ζώει γ', ἢ πέφνηκεν. Ὀδύσσεω δή κέ μιν αὐτὸν
Λαέρτης θ' ὁ γέρων καὶ ἐχέφρων Πηνελόπεια,
Τηλέμαχός θ', ὃν ἔλειπε νέον γεγαῶτ' ἐνὶ οἴκῳ.
Ὣς φάτο· τῷ δ' ἄρα πᾶσι κασιγνήτοισιν ὄρωρε γόοιο.
Δάκρυα δ' ἀπὸ βλεφάρων χαμάδις βάλε, πᾶσι ἀκούσας,
Χλαῖναν πορφυρέην ἄντ' ὀφθαλμοῖιν ἀνασχών
Ἀμφοτέρῃσι χερσί· νόησε δέ μιν Μενέλαος·
Μερμήριξε δ' ἔπειτα κατὰ φρένα καὶ κατὰ θυμόν,
Ἠέ μιν αὐτὸν πατρὸς ἑοῖο μνηστύοντα,
Ἦ ὅν τιν' ἐξερέοιτο, ἕκαστά τε μυθήσαιτο.
Ἕως ὁ ταῦθ' ὥρμαινε κατὰ φρένα καὶ κατὰ θυμόν,
Ἐκ δ' Ἑλένη θαλάμοιο θυώδεος ὑψορόφοιο
Ἦλυθεν, Ἀρτέμιδι χρυσηλακάτῳ εἰκυῖα·

" Habitare, & viri salvi essent: qui tum perierunt
" Troiâ an latâ, longè ab Argis pulchros equos-pascente.
" Sed tamen omnes quidem lugens &
dolens,
" Crebrò domi desidens nostræ,
" Interdum quidem luctu mentem objector, interdum rursus
" Quiesco: brevis verò satietas molesti luctûs.
" Horum omnium causâ non tantùm lugeo, tametsi tristis,
" Ut unius gratiâ, quique mihi somnum invitum facit & cibum
" Recordanti; quoniam nullus Græcorum tantum laboravit,
" Quantum Ulysses laboravit & pertulit: huic utique infatus erat
" Ipsi, dolores ut essent, mihi verò maximus semper gravissimus
" Illius causâ, quoniam diù longè abest, neque scimus,
" An vivat ille, an mortuus sit. Dolent utique illum
" Laërtesque senex, & prudens Penelope,
" Telemachusque, quem reliquit recèns-natum in domo.
Sic ait; huic certè ob patrem desiderium excitavit luctûs.
Lacrymas verò à palpebris humi fudit, de patre audiens,
Chlænam purpuream oculis obtendens
Utráque manu; observavit autem Menelaus ipsum:
Cogitavit verò deinde in mente & in animo,
An ipsum eum patris fineret memoriam inducere,
An prior interrogaret singulásque diceret.
Interim dum ille ista deliberabat in mente & in animo,
Helena ex thalamo odorifero excelso
Egressa est, Dianæ aureum-arcum habenti similis;

ΣΧΟΛΙΑ.

102. Γόῳ φρένα τέρπομαι.] Πληρεῖμαι.
103. Αἶψα γάρ ὁ κόρος.] Ὁ ἐπιπ τὰ ἄλλα μὲν ἡδὺ καὶ ποιεῖ τοὺς θραύεται.
104. Ὀδύρομαι.] Ἀποκλαίομαι.
105. Ἀπεχθαίρῃ.] Εἰς μῖσος ἄγει.
106. Μνωομένῳ.] Μνησθησομένῳ. Ἐμόγησεν.] Ἐκακοπάθησεν.
107. Πέφνηκε.] Ὑπέμεινεν.
109. Ἀπεσσεῖται.] Ἄπεστιν, ἀπόδημεῖ.
119. Ἐξερέοιτο.] Ἐξιστόρησεν, ἀνακρίνοι. Μυθήσαιτο.] Εἴποι.
121. Θυώδεος.] Εὐώδους.

NOTÆ.

102. Ἄλλοτε μὲν τε γόῳ φρένα τέρπομαι) *Aristot.* l. 1. περὶ Πολιτ. fol. 176. Probat, Voluptatem quandam in Luctibus &c.

120. Ἕως ὁ ταῦθ' ὥρμαινε) *Amphibrachys.* Δακτύλῳ ἰσόχρονον, ut suprà. v. 90.

NOTÆ IN SCHOLIA.

123. Ἀνάκλιντον) Ità pro corrupto ἀνάκλιτον, ex *Eustathio.*

VARIÆ LECTIONES.

118. Ἑάσειε) γρ. ἐάσῃ, Prior. Codd.
119. Μυθήσαιτο) γρ. πειρήσαιτο, *H. Steph.*

Τῇδ' ἄρ' ἄμ' Ἀδρήστη χλισίλιν εὐτυκτον ἔθηκεν·
Ἀλκίππη δ' ὑπέπρεπτα φέρεν μαλακῆ ἐνὶ λώτῳ·
Φυλὼ δ' ἀργύρεον πάλαθον φέρε, τόν οἱ ἔδωκε
Ἀλκάνδρη, Πολύβοιο δάμαρ, ὃς ἔναι' ἐνὶ Θήβῃς
Αἰγυπτίῃς, ὅθι πλεῖστα δόμοις ἐν κτήματα κεῖται·
Ὅς Μενελάῳ δῶκε δύ' ἀργυρέας ἀσαμίνθους,
Δοιοὺς δ' τρίποδας, δέκα δὲ χρυσοῖο τάλαντα·
Χωλὶς δ' αὖτ' Ἑλένη ἄλοχος πόρε κάλλιμα δῶρα,
Χρυσείῳ τ' ἠλακάτην, πάλαθόν θ' ὑπόκυκλον ὀπάσσεν,
Ἀργύρεον, χρυσῷ δ' ἐπὶ χείλεα κεκρόανται.
Τόν ῥά οἱ ἀμφίπολος Φυλὼ παρέθηκε φέρουσα,
Νήματος ἀσκητοῖο βεβυσμένον· αὐτὰρ ἐπ' αὐτῷ
Ἠλακάτη τέτατο, ἰοδνεφὲς εἶρος ἔχουσα.
Ἕζετο δ' ἐν κλισμῷ, ὑπὸ δὲ θρῆνυς ποσὶν ἦεν.
Αὐτίκα δ' ἤγ' ἐπέεσσι πόσιν ἐρέεινεν ἕκαστα,

"Ἴδμεν δὴ, Μενέλαε διοτρεφὲς, οἵ τινες οἵδε
Ἀνδρῶν εὐχετόωνται ἱκανέμεν ἡμέτερον δῶ;
Ψεύσομαι, ἢ ἔτυμον ἐρέω; κέλεται δέ με θυμός.
Οὐ γάρ πω πρό φημι ἐοικότα ὧδε ἰδέσθαι
Οὔτ' ἄνδρ', οὔτε γυναῖκα, σέβας μ' ἔχει εἰσορόωσαν,

Huic statim Adrasta sellam benè-tastam apposuit:
Alioppe verò tapeta ferebat mollis lanæ:
Phylo autem argenteum quasillum ferebat, quem illa dedit
Alcandra, Polybi uxor, qui habitabat in Thebis
Ægyptiacis, ubi plurima in ædibus bona jacent;
Qui Menelao dedit duo argentea labra,
Geminosque tripodas, decemque auri talenta:
Seorsim verò rursus Helenæ uxor dederat pulchra dona.
Aureamque colum, quasillumque rotundum præbuit
Argenteum, auro verò labia perfecta erant:
Hunc sanè ei ancilla Phylo apposuit ferens,
Filo elaborato repletum: cæterùm super eum
Colus extenta erat, violaceam lanam habens.
Sedit verò in sellâ, & scabellum sub pedibus erat:
Continuò autem illa verbis maritum interrogabat singula,
" Scimúsne, Menelae rex, quinam hi
" Virorum gloriantur, venisse nostram domum?
" Mentiar, an verum dicam? Jubet me animus.
" Nullum enim unquam puto similem adeò vidisse
" Neque virum neque mulierem: admiratio me tenet aspicientem,

ΣΧΟΛΙΑ.

123. Κλισίην.] Διφρον, ἀνάκλιντρον ἔχουσα.
125. Τάλαρον.] Κάλαθον.
126. Θήβης.] Θῆβαι, πόλις Αἰγύπτου, ἡ τῶν καλουμένη Διὸς πόλις.
130. Κάλλιμα.] Ἄγαν καλά.
131. Τάλαρον ὑπόκυκλον.] Κύκλον ἔχοντα, ἢ ὑπότροχον.
132. Κεκράανται.] Ἐντετελείωται.
134. Νήματος ἀσκητοῖο.] Εἰς ὕφος ἐπιτηδειότερον, καλῶς μεμηχανημένον. Βεβυσμένον.] Πεπληρωμένον.
135. Ἠλακάτη.] Ἐφαπτρίς, ἐρμάλιον. Τετάνυστο.] Ἐτείνετο. Ἰοδνεφὲς.] Μέλαν, ἢ πορφυροῦν. Εἶρος.] Ἔριον.
139. Εὐχετόωνται.] Ἔνιοι, Εὐχετάονται. Ἐκαυχῶνται.
141. Ἐοικότα.] Ὅμοια ἔπη.

NOTÆ.

126. Ἀλκάνδρη Πολύβοιο δάμαρ) Θήβαις βασιλεὺς Αἰγύπτου, ὁ παρ' Ὁμήρῳ καλούμενος Πόλυβος. Ἀλκάνδρας κύριος, ἐν Ὀδυσσείᾳ φερόμενος παρ' ᾧ, φησὶ, Μενέλαος τὸν τῇ Ἑλένῃ, μετὰ τὴν ἅλωσιν Τροίας κατέχθαι πλανηθέντα. *Eusebii* Chronic. Canon. fol. 115. & *Josephi Scaligeri* Animadvers. fol. 50. *Thueris*, *Rex Ægypti* ab *Homero Polybus* vocatur, *maritus Alcandræ*. Θήβης Αἰγυπτίης) De *Thebarum Ægyptiarum* Opulentiâ, *Eustath.* ad *Iliad.* ι'. v. 381. & in hunc locum, fol. 1458. lin. 47. In fine vocis Αἰγυπτίης, Συνίζησις ut v. 229.

NOTÆ IN SCHOLIA.

131. Ἔχουσα) Pro ἔχον, lego.
134. Νήματος ἀσκητοῖο) Nihil hìc addo, nihil demo, nihil muto; excepto verborum ordine, qui rectè se non habebat, & casu τ' ἐπιτηδειότερος, qui malè &c.

VARIÆ LECTIONES.

126. Ὅς ἔναι' ἐνὶ Θήβῃς) γρ. ὃς ἄνακτ' ἐνὶ Θήβῃς, Vid. in *Textum*.
127. Ἐν κτήμασι) γρ. ἐνὶ κτήμασι. Vid. ad v. 74. Not. in *Text.* & *Iliad.* ι'. v. 381.
131. Χρυσείῳ) γρ. ξυστῷ, ut Incontracta *Homero* usitatiora.
139. Εὐχετόωνται) γρ. εὐχετάονται, *Et. Schol.* & MSS. *Aloysii* & GC.

Ἄμ

Ὡς ἔδ' Ὀδυσῆϊ μεγαλήτορι φῶτ' ἔοικε
Τηλεμάχῳ, τὸν ἔλειπε νέον γεγαῶτ' ἐνὶ οἴκῳ
Κεῖνος ἀνὴρ, ὅτ' ἐμεῖο κυνώπιδες εἵνεκ' Ἀχαιοὶ
Ἦλθ' ὑπὸ Τροίῃ, πόλεμον θρασὺν ὀρεκέοντες.
Τὸν δ' ἀπαμειβόμενος προσέφη ξανθὸς Μενέλαος,
Οὕτω νῦν κἀγὼ νοέω, γύναι, ὡς σὺ εἰσκεις.
Κείνου γὰρ τοιάδε πόδες, τοιάδε τε χεῖρες,
Ὀφθαλμοί τε βολαί, κεφαλή τ', ἐφύπερθέ τε χαῖται.
Καὶ νῦν ἤτοι ἐγὼ μεμνημένος ἀμφ' Ὀδυσῆϊ,
Μυθεόμην, ὅσα κεῖνος ὀϊζύσας ἐμόγησεν
Ἀμφ' ἐμοί· αὐταρ ὁ πικρὸν ὑπ' ὀφρύσι δάκρυον εἶβε,
Χλαῖναν πορφυρέην ἄντ' ὀφθαλμοῖϊν ἀνασχών.
Τόνδ' αὖ Νεστορίδης Πεισίστρατος ἀντίον ηὔδα,
Ἀτρεΐδη Μενέλαε, διοτρεφὲς, ἔρχαμε λαῶν,
Κείνου μὲν τοῦτόν γε ἐΐσκομεν, ὡς ἀγορεύεις·
Ἀλλὰ σαόφρων ἐστὶ, νεμεσσητῷ δ' ἐνὶ θυμῷ,
Ὧδ' ἐλθὼν πρῶτον, ἐπιφροσύνας ἀναφαίνειν
Ἅντα σέθεν, ὄφρα νῶϊ, θεῷ ὡς, πρὸς μύθῳ αὐδῇ.
Αὐτὰρ ἐμὲ προέηκε Γερήνιος ἱππότα Νέστωρ,
Σὺν ἅμα πομπὸν ἕπεσθαι· ἐέλδετο γάρ σε ἰδέσθαι,
Ὄφρα οἱ ἢ ἔπος ἠὲ νοήσαις, ἠέ τι ἔρξαις.
Πολλὰ γὰρ ἄλγε' ἔχει πατρὸς πάϊς οἰχομένοιο,
Ἔν μεγάροις, ὧ μὴ ἄλλοι ἀοσσητῆρες ἔωσιν·

" Ut ille Ulyſſis magnanimi filio ſimilis
" Telemacho, quem reliquit recens natum domi ſuæ
" Ille vir, quando mei invereundæ gratiâ Græci
" Venerunt ad Trojam, bellum ferox excitantes.
Hanc viciſſim reſpondens alloquutus eſt flavus Menelaus,
" Sic nunc ego reputo, uxor, ut ea putas.
" Illius enim ejuſmodi pedes, ejuſmodique manus,
" Oculorumque jactus, caputque & ſuperne comæ.
" Et nunc ſanè ego recordatus de Ulyſſe,
" Loquebar, quantas ille ærumnas patiens toleravit
" Pro me: cæterùm hic amaras à palpebris lacrymas ſtillabat,
" Chlænam purpuream oculis obtendens.
Hunc rurſus Neſtoride Piſiſtratus contrà alloquutus eſt,
" Atride Menelaë, a-Jove-nutrite, dux populorum,
" Illius quidem hic filius eſt certo certiùs, quemadmodum dicis,
" Sed modeſtus eſt, indignaturque in animo,
" Huc veniens primùm, jactationes verborum obtendere
" Coram te, cujus nos, dei tanquam, divinam vocem
" Cæterùm me præmiſit Gerenius eques Neſtor,
" Hunc mecum comes ut ſequerer; cupiebat enim te videre;
" Ut ea aut verbis conſulas, ſive reipſâ.
" Plurimos enim dolores patitur ob patrem ſuus abſentem,
" Domi ſuæ, cui non alii auxiliatores ſunt:

ΣΧΟΛΙΑ.

148. Εἴσκεις.] Ἀπεικάζεις.
149. Τοῖον.] Τοιοῦτον.
150. Βολαί.] Τὰ βλέμματα. Ἐφύπερθε.] Ἐπάνωθεν.
151. Μυθεόμην.] Ἔλεγον, διηγούμην. Ὀϊζύσας.] Ταλαιπωρήσας.
158. Σαόφρων.] Σώφρων. Νεμεσσητῷ.] Ἐντρέπεσθαι, αἰδεῖται.
159. Ἐπιφροσύνας ἀναφαίνειν.] Τὰς ψυχικὰς τοῦ μετρίου εἰς αὐτὸν φλυαρίας, ἃ πρὸς τοῦτο τὸ εἶναι αὐτῷ φλυαρίας, καὶ λαιδορίας, δείκνυσιν. ἃ ὑπὸ σωφροσύνης ἂν βάλοι τις σωφρονικὰς λόγους. Ἐπιφροσύνας δὲ τὰς πρὸς τὸ ἐπῶν εἰσφορὰς καὶ ὀρχάς. Ἀναφαίνειν.] Φαίνειν, δείκνυσιν.
162. Ἐέλδετο.] Ἐπεθύμει.
163. Ὑποθήσαι.] Ὑποβάλῃς.
165. Ἀοσσητῆρες.] Βοηθοί.

NOTÆ.

149. Κείνου γὰρ τοιάδε πόδες) Virgil. Æn. l. 3. v. 490. *Sic oculos, ſic ille manus, ſic ora ferebat.*

165. Ἔν μεγάροις· ἢ μὴ ἄλλοι ἀοσσητῆρες ἔωσιν) Olim in plurimis Edit. πολλοὶ, quod Senſus reſpuit; non enim neceſſe eſt, ut Orphanus *multos* habeat Patronos, at ſaltem ut *alios*, præter ſe habeat; nè dicant *Verſum* cum voce πολλοὶ, laborare. Rectè itaque *Euſtathius* in Commentariis legit, ἄλλοι, ut ſit συνίζησις, ſive συναφαίρεσις, quaſi ſcriberetur, ἢ μὴ 'λλοι. Quem *Latinorum* morem nec *Græcis* planè incognitum probo, ad *Eurip.* Oreſt. v. 596. Ità *Theogn.* v. 927. Φιλέοις δὲ κἀμεῖνον· ἐπὶ δὲ ξυνὸν λόγον ἔλθῃ. Vid. *Iliad.* π'. v. 31. *H. Stephan.* ἄλλοι etiam inter *Var. Lect.* habuit ut *Romana* Editio, in *Textu.*

VARIÆ LECTIONES.

165. Ἄλλοι) ſc. πολλοὶ, vid. Not. ad *Textum.*

Ὡς νῦν Τηλεμάχῳ ὁ μὲν οἴχεθ', ὐδέ οἱ ἄλλοι
Εἴσ', οἵ κεν κτῆμον ἀλάλκοιεν κακότητα.
Τόνδ' ἀπαμειβόμενος προσέφη ξανθὸς Μενέλαος,
Ὦ πόποι, ἦ μάλα δὴ φίλου ἀνέρος υἱὸς ἐμὸν δῶ
Ἵκεθ', ὃς εἵνεκ' ἐμεῖο πολεῖς ἐμόγησαν ἀέθλους·
Καί μιν ἔφην ἐλθόντα φιλησέμεν ἔξοχον ἄλλων
Ἀργείων, εἰ νῶϊν ὑπεὶρ ἅλα νόστον ἔδωκε
Νηυσὶ θοῇσι γενέσθαι Ὀλύμπιος εὐρύοπα Ζεύς·
Καί κέν οἱ Ἄργεϊ πάσσα πόλιν, κ' δώματ' ἔτευξα,
Ἐξ Ἰθάκης ἀγαγὼν σὺν κτήμασι κ' τέκεϊ ᾧ,
Καὶ πᾶσιν λαοῖσι, μίαν πόλιν ἐξαλαπάξας,
Αἳ κεν ἀνάσσωσιν, ἀνάσσομεν δ' ἐμοὶ αὐτῷ.
Καί κε θαμὰ σύνδαδ' ἐόντες ἐμισγόμεθ'· οὐδέ κεν ἡμέας
Ἄλλο διέκρινεν φιλέοντέ τε τερπομένω τὲ,
Πρίν γ' ὅτε δὴ θανάτοιο μέλαν νέφος ἀμφεκάλυψεν.
Ἀλλὰ τὰ μὲν πού πω μέλλεν ἀγαστὸς θεὸς αὐτὸς,
Ὅς κεῖνον δύστηνον ἀνόστιμον οἶον ἔθηκεν.
Ὣς φάτο· τοῖσι δὲ πᾶσιν ὑπ' ἴμερον ὦρσε γόοιο.
Κλαῖε μὲν Ἀργείη Ἑλένη Διὸς ἐκγεγαυῖα,
Κλαῖε δὲ Τηλέμαχός τε καὶ Ἀτρεΐδης Μενέλαος·
Οὐδ' ἄρα Νέστορος υἱὸς ἀδακρύτῳ ἔχεν ὄσσε·
Μνήσατο γὰρ κατὰ θυμὸν ἀμύμονος Ἀντιλόχοιο,
Τόν ῥ' Ἠὼς ἔκτεινε φαεινῆς ἀγλαὸς υἱός·
Τῇ ὅγ' ὀπιμνησθεὶς ἔπεα πτερόεντ' ἀγόρευεν,
Ἀτρεΐδη, πέρι μέν σε βροτῶν πεπνυμένον εἶναι
Νέστωρ φάσκ' ὁ γέρων, ὅτ' ἐπιμνησαίμεθα σεῖο
Οἵσιν ἐνὶ μεγάροισι, καὶ ἀλλήλους ἐρέοιμεν.
Καὶ νῦν, εἴπ πού ὄφελ, πίθοιό μοι· ὐ γὰρ ἐγωγε

" Sic nunc Telemacho est: hic quidem abest, neque eidem alii
" Sunt, qui per populum avertere possent calamitatem.
Hunc vicissim respondens allocutus est flavus Menelaus,
" Dii Boni! Certe perquam amici viri filius meam domum
" Pervenit, qui mei gratiâ plurima subiit certamina:
" Atque ipsum statuebâ aliquandò reducem amplexurû me præter cæteros
" Græcor, si nobis super mare reditum dedisset
" Navibus velocibus fieri Olympius latè-tonans Jupiter:
" Et sanè ei in Argo erexissem urbem, & ædes ædificassem,
" Ex Ithacâ reducens cum facultatibus & filio suo,
" Et omni populo, unâ urbe evacuatâ earum,
" Quæ circum-habitabantur, imperantur autem à me ipso:
" Et sanè crebrò hic unà fuissemus versati: neque nos
" Aliud diremisset amantesque obiectantesque,
" Antequam mortis nigra nebula obruisset.
" Sed hæc quidem forte erat, ut invideret deus ipse,
" Qui illum infelicem absque reditu solum reddidit.
Sic ait: his verò omnibus desiderium excitavit luctûs.
Flebat quidem Argiva Helena ex Jove nata,
Flebat etiam Telemachúsque & Atrides Menelaus:
Neque sanè Nestoris filius absque lacrymis habebat oculos;
Recordabatur enim in animo inculpati Antilochi;
Quem sanè Auroræ interfecit splendidæ inclytus filius:
Hujus ille recordatus, verba volatilia dixit,
" Atride, supra alios immortales te prudentem esse
" Nestor dicebat ille senex; quando recordaremur tui
" Suis in domibus, & nos mutuò alloqueremur.
" Quare nunc, si forte licet, pareas mihi; non enim ego

ΣΧΟΛΙΑ.

167. Ἀλάλκοιεν.] Καλύπτοι, βοηθήσουσιν.
171. Ἔφην.] Ἔλεγον. Φιλησέμεν.] Φιλοφρονήσασθαι.
174. Νόστον.] Κατάπλουν. Ἔτευξα.] Κατεσκεύασα.
175. Τέκεϊ.] Τέκνῳ.
176. Ἐξαλαπάξας.] Μεταστήσας τοὺς οἰκοῦντας εἰς ἄλλον τόπον.
179. Διέκριναν.] Διεχώριζον.
180. Ἀμφεκάλυψε.] Περιεκάλυψεν.
181. Ἀλλὰ τὰ μὲν πού πω μέλλεν.] Ἀλλὰ τότε μὲν ἐβούλετο. Ἀγαστὸς.] Φθονήσας.
182. Ἀνόστιμον.] Ἐστερημένον τοῦ τυχόντος.
188. Ἠὼς υἱός.] Ὁ Μέμνων. Τιθωνῷ δὲ καὶ τῇ Ἠμαθίωνος υἱός.
192. Ἐρέοιμεν.] Ἐρωτήσαιμεν.
193. Εἴπ πού ἐστι.] Εἰ ζῇ.

NOTÆ IN SCHOLIA.

179. Διέκριναν) Διεχώριζον. Addo, ex MS. *Aloysii*.

Τέρπμ' ὀδυρόμενόν τε μεταδέρπος· ἀλλὰ καὶ Ἠὼς
Ἔστη ῥοδοδάκτυλος νεμεσσᾶμαί γε μὲν ὐδὲν
Κλαίειν, ὅς κε θάνῃσι βροτῶν καὶ πότμον ἐπίσπῃ.
Τοῦτό νυ καὶ γέρας οἷον ἐπιζυγίοισι βροτοῖσι,
Κείρασθαί τε κόμην, βαλέειν τ' ἀπὸ δάκρυ παρειῶν.
Καὶ γὰρ ἐμὸς πέφνηκεν ἀδελφεός, οὔτι κακὸς τὸς
Ἀργείων· μέλλεις δὲ σὺ ἴδμεναι· οὐ γὰρ ἔγωγε
Ἤντησ', οὐδὲ ἴδον· πέρι δ' ἄλλων φασὶ γενέσθαι
Ἀντίλοχον, θοὸν μὲν θείειν ταχύν, ἠδὲ μαχητήν.
Τόνδ' ἀπαμειβόμενος προσέφη ξανθὸς Μενέλαος,
Ὦ φίλ', ἐπεὶ τόσα εἶπες, ὅσ' ἂν πεπνυμένος ἀνὴρ
Εἴποι καὶ ῥέξειε, καὶ ὃς προγενέστερος εἴη·
Τοίου γὰρ καὶ πατρὸς, ὃ καὶ πεπνυμένα βάζεις·
Ῥεῖα δ' ἀείγνωτος γένετ' ἀνήρ, ᾧ τε Κρονίων
Ὄλβον ἐπικλάσσῃ γαμέοντί τε γεινομένῳ τε.
Ὡς νῦν Νέστορι δῶκε θεὰ πάντα τὰ μέτρια,
Αὐτὸν μὲν λιπαρῶς γηρασκέμεν ἐν μεγάροισιν,
Υἱέας αὖ πινυτούς τε καὶ ἔγχεσιν εἶναι ἀρίστους.
Ἡμεῖς δὲ κλαυθμὸν μὲν ἐάσομεν, ὃς πρὶν ἐτύχθη·
Δόρπου δ' ἐξαῦτις μνησώμεθα, χερσὶ δ' ἐφ' ὕδωρ
Χεύάντων· μῦθοι δὲ καὶ ἠῶθέν περ ἔσονται
Τηλεμάχῳ καὶ ἐμοὶ, θαμειπέμεν ἀλλήλοισιν.

" Deflector fiens inter cænandum: Sed ec mox Aurora
" Aderit manè-genita; moleste quidem neutiquam fero
" Deplorare; quicunq; mortuus fuerit mortalium, & fatum consequutus fuerit.
" Illud certe munus solum est in ferorum mortalium,
" Tonderèque comas, profunderèque lachrymas à genis.
" Etenim meus mortuus est frater, neutiquam pessimus
" Græcorum: scies autem tu, non enim ego
" Obviam fui, neque vidi: supra autem alios ferunt fuisse
" Antilochum, supra quidem currendo velocem, atque bellatorem.
Hunc mutuis verbis excipiens alloquutus est flavus Menelaus,
" Amice, quandoquidem talia dixisti, quæcunque prudens vir
" Diceret & faceret, etiam qui major natu esset;
" Tali enim natus es Patre; quare etiam prudenter loqueris.
" Facile conspicuus est Filius Viri; cui Saturnius
" Faustitatem destinavit Nuptiis pariter & Natalitiis;
" Sicut nunc Nestori dedit assidue diebus omnibus,
" Ipsum quidem molliter senescere domi suæ,
" Filios rursus prudentes, & hastâ esse optimos.
" Nos tamen fletum relinquamus, qui priùs incidit:
" Cœnæ verò rursus memores simus, manibusque aquam
" Profundant: sermones autem etiam mane erunt
" Telemacho & mihi, ad colloquendum invicem.

Σ Χ Ο Λ Ι Α.

194. Μεταδέρπ@.] Μετὰ τὸ δεῖπνον· ἢ ἕτως, σὺν ἀρίστῳ μὴ θρηνεῖν μᾶλλον τὸ δεῖπνον. Ἄναξ, Μεταδόρπιος.] Δείπνου ἄρξαι, ἤγουν σὺ τῷ δείπνῳ· καὶ μεταδόρπιος, ἐνδυμ@., ὁ ἐν δείπνῳ ὤν.

195. Νεμεσσῶμαι.] Νεμεσίζομαι, μέμφομαι.

199. Κείρεσθ@.] Δειλόν.

200. Ἴδμεναι.] Εἰδέναι.

205. Ῥέξειε.] Πράξοι.

206. Ὅ.] Διὸ ὅ.

207. Ἀείγνωτ@.] Εὔγνως@.

208. Ἐπικλάσσῃ.] Εἱμαρμένον ποιήσῃ. Γεινομένῳ.] Τεκνοποιΐᾳ, γλυκανῇ.

210. Λιπαρῶς.] Εὐδαιμόνως, μεγαλως.

211. Πινυτούς.] Σώφρονας, σωστικούς.

213. Μεταδόρπια.] Ἐπιμελητῶμεν.

214. Χεύάντων.] Ἐπιχείτωσαν, Ἀττικῶς.

215. Διαμειπέμεν.] Διαλεχθῆναι.

NOTÆ IN SCHOLIA.

195. Νεμεσσῶμαι) Νεμεσίζομαι, μέμφομαι. Pro corrupto νεμέσσομαι, lego νεμεσίζομαι· quæ tamen unica vox deest MSS. illa enim νεμεσσῶμαι, μέμφομαι, tantum legunt.

208. Ἐπικλάσσῃ) Εἱμαρμένον ποιήσῃ. Ità MSS. quæ cùm *Variis Lectionis* vestigiis præferant, licet ἐπικλάσσῃ sit in *Textu*, minimè mutanda censeo. *Schrevel.* Edit. ἐπικλάσσῃ) ποιήσῃ &c.

VARIÆ LECTIONES.

197. Οἷος) κ. οἷον, θαυμαστικῶς, inquit *Eustathius*. Vid. *Duport.* Gnomolog. in locum.

207. Ἀείγνωτος γένετ') κ. ἀείγνωτον γένος, *H. Steph.*

208. Ἐπικλάσσῃ) κ. ἐπικλάσσῃ, MSS. GC. & *Aloysii.*

212. Ἡμεῖς δ') κ. ἡμεῖς δὲ, *Eustath.*

Ὡς

Ὡς ἔφαθ'· Ἀσφαλίων δ' ἄρ' ὕδωρ ἐπὶ χεῖρας ἔχυθεν,
Ὀτρηρὸς θεράπων Μενελάου κυδαλίμοιο.
Οἱ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα παρκείμενα χεῖρας ἄλλον.
Ἔνθ' αὖτ' ἄλλ' ὑφάσσε Διὸς κυγερὴ θυγάτηρ·
Αὐτίκ' ἄρ' εἰς οἶνον βάλε φάρμακον, ἔνθεν ἔπινον,
Νηπενθές τ' ἄχολόν τε, κακῶν ἐπίληθον ἁπάντων·
Ὃς τὸ καταβρόξειεν, ἐπὴν κρητῆρι μιγείη,
Οὐκ ἂν ἐφημέριός γε βάλοι κατὰ δάκρυ παρειῶν,
Οὐδ' εἰ οἱ κατατεθναίη μήτηρ τε πατήρ τε,
Οὐδ' εἰ οἱ προπάροιθεν ἀδελφεὸν, ἢ φίλον υἱὸν,
Χαλκῷ δηϊόφεν, ὁ δ' ὀφθαλμοῖσιν ὁρῷτο.
Τοῖα Διὸς θυγάτηρ ἔχε φάρμακα μητιόεντα,
Ἐσθλὰ, τά οἱ Πολύδαμνα πόρε Θῶνος παράκοιτις,
Αἰγυπτίη· τῇ πλεῖστα φέρει ζείδωρος ἄρουρα
Φάρμακα, πολλὰ μὲν ἐσθλὰ μεμιγμένα, πολλὰ δ' οὐλά.
Ἰητρὸς δ' ἕκαστος ἐπιστάμενος παρὰ πάντας
Ἀνθρώπους· ἢ γὰρ Παιήονός εἰπι γενέθλης.

Sic ait: Aſphalion verò aquam manibus infudit,
Sedulus famulus Menelai glorioſi.
Illi vero ad cibos paratos apροſitos manus mittebant,
Ibi tum alia excogitavit Pe'ea è Jove nata;
Protenus ſanè in vinum miſit pharmacum, unde bibebant,
Abſque dolore & irâ, malorum oblivionem inducens omnium:
Qui illud deglutierit, poſtquam crateri mixtum erit,
Non utique totâ die profundere poterit lachrymas à palpebris,
Neque, ſi ei mortui fuerint matérque patérque,
Neque ſi ei coràm fratrem, aut charum filium
Ferro trucidarent, ipſe vero oculis videret.
Talia Jovis filia habebat pharmaca utilia,
Bona, quæ illi Polydamna præbuit Thonis uxor,
Ægyptia; ubi plurima producit alma terra
Pharmaca, multa quidem ſalubria mixta, multa quoque lethalia:
Medicus verò unuſquiſque peritus ſuprà omnes
Homines: ſanè enim Pæonis ſunt ex proſapiâ.

ΣΧΟΛΙΑ.

216. Ἀσφαλίων.] Πεποίηκε τὸ ὄνομα παρὰ τὸ ἀσφαλέσται.

221. Νηπενθές.] Ἀπὸ τῆς. Ἄχολον.] Τὸ τὴν χολὴν παῦον. Ἐπίληθον.] Προπαροξυτόνως, ἵν' ᾖ ἐπιληπτικόν. οἱ δὲ περισπῶσιν, ἵν' ᾖ ἐπιλανθανόμενος πολλῶν.

222. Καταβρόξειεν.] Καταπίοι.

223. Ἐφημέριος.] Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ἐν ᾗ ἔπιεν.

226. Δηϊόφεν.] Ἀναιρεῖν, φονεύειν.

227. Μητιόεντα.] Πανοῦργα, ἢ ἀπὸ συνέσεως εὑρημένα.

228. Πολύδαμνα.] Ἀμφίβολα, πότερον τὰ φαρμακίδες ἐστὶ τὸ ὄνομα· ἢ τὰ φάρμακα τὰ πολλὰς δαμάζοντα ζῴων. ἐκεῖνόν φησι Θῶνα Πτολεμαῖος ἐν τῷ περὶ τῶν χρονικῶν φησί.

231. Ἰητρὸς δ' ἕκαστος.] Ἕκαστος τὴν ἐκείνῃ ἰατρικὴν ὑπὲρ τὰς ἄλλας ἴσην· ἐπεὶ Παιήονος λατρικοί εἰσι. γράφεται καὶ ἐπὶ πάντων φαρμακοτῶν· ἃ γὰρ πάντες πάντα ἴσασιν. Περὶ πάντων.] Ὑπὲρ πάντας.

232. Παιήονος.] Παιῶνα ἰατρὸν φασὶν, οὐχ ὁ αὐτὸς τῷ Ἀπόλλωνι· ἀλλὰ κεχωρισμένως. παρὰ μέντοι τοῖς νεωτέροις ὁ αὐτὸς νομίζεται εἶναι. καὶ Ἡσίοδός φησι, ὅτι ἕτερον εἶναι τὸν Παιήονα τοῦ Ἀπόλλωνος, λέγων·

Εἰ μὴ Ἀπόλλων Φοῖβος ἐκ θανάτοιο σαώσῃ.
Ἢ αὐτὸς Παίων, ὃς ἁπάντων φάρμακα οἶδεν.

NOTÆ.

221. Νηπενθές) De *Nepenthe*, *Plutarchus*, *Plinius*, *Macrobius*, & alii apud *Duport.* Gnomolog. in locum; quibus add. *Martinii* Lexicon *Philolog.* v. *Nepenthes*, *P. Petiti* l. cui Nomen, *Homeri Nepenthes*, ſive de *Helena* Medicamento, *Traject.* 1689. *Joh. Bodin.* Theatr. Nat. l. 3. p. 282. *Meibomium* etiam in Jusjurand. *Hippocratis*, p. 156. n. 16. *Ælian.* denique, Animal. l. 4. c. 41. in fine; & Nos ad *Anacreon.* v. 775.

229. Αἰγυπτίη) Vid. ad v. 126.

NOTÆ IN SCHOLIA.

221. Παραπεξυτόνως) Ità duo MSS. pro corrupto, παραξυτόνως.

227. Συνέσεως εὑρημένα) Ultimam vocem, utpote neceſſariam, ex MSS. addo.

228. Θῶνα, ut proprium Nomen ſcribo, & pro χθόνα, χθονικῶν, pro quo νόμων legit *Fabricius*.

232. Παιήονος) In hoc *Scholio*, κεχωρισμένος ex MSS. lego. pro κεχωρισμένως, & ex iisdem, atque *Euſtathio*, Verſus *Heſiodi* emendo; excepto, quòd Παίων, pro Παιήων, Metri gr. legam.

VARIÆ LECTIONES.

221. Ἐπίληθον) γρ. ἐπιλῆθον, *Br. Schol.* ἐπιλανθὲς, *Plutarch.* Vit. *Homeri*.

229. Αἰγυπτίη, τῇ) γρ. Αἰγυπτίη, πόλι, *Theophraſt.* περὶ φυτῶν, l. 9. c. 15. fol. 96. *Ibid.* Φέρει) γρ. φύει, *Id.* ibid.

230. Μεμιγμένα) γρ. πεπυγμένα, *Theophraſt.* ibid.

Αὐταὰρ ἐπεί ῥ' ὀνέηκε, κέλευσέ τε οἰνοχοῆσαι,
Ἐξαῦτις μύθοισιν ἀμειβομένη προσέειπεν,
Ἀτρεΐδη Μενέλαε, διοτρεφὲς, ἦδε καὶ οἵδε
Ἀνδρῶν ἐσθλῶν παῖδες, ἀτὰρ θεὸς ἄλλο τ' ἐπ' ἄλλῳ
Ζεὺς ἀγαθόν τε κακόν τε διδοῖ· δύναται γὰρ ἅπαντα.
Ἦ τοι νῦν δαίνυσθε, καθήμενοι ἐν μεγάροισι,
Καὶ μύθοις τέρπεσθε· ἐοικότα γὰρ καταλέξω.
Πάντα μὲν οὐκ ἂν ἐγὼ μυθήσομαι οὐδ' ὀνομήνω,
Ὅσσοι Ὀδυσσῆος ταλασίφρονος εἰσὶν ἄεθλοι·
Ἀλλ' οἷον τόδ' ἔρεξε καὶ ἔτλη καρτερὸς ἀνὴρ
Δήμῳ ἔνι Τρώων, ὅθι πάσχετε πῆμαΐ' Ἀχαιοί.
Αὐτόν μιν πληγῇσιν ἀεικελίῃσι δαμάσσας,
Σπεῖρα κάκ' ἀμφ' ὤμοισι βαλὼν, εἰκυῖ ἐοικὼς,
Ἀνδρῶν δυσμενέων κατέδυ πόλιν εὐρυάγυιαν.
Ἄλλῳ δ' αὐτὸν φωτὶ καταπρύτων ἤισκε
Δέκτῃ, ὃς ἤδη πῶϊς ἔἰν ἐπὶ νηυσὶν Ἀχαιῶν·
Τῷ ἴκελος κατέδυ Τρώων πόλιν· οἱ δ' ἀβάκχιτον
Πάντες· ἐγὼ δέ μιν οἴη ἀνέγνων τοῖον ἐόντα,
Καί μιν ἀνηρώτων· ὁ δ' ἐῢ κερδοσύνῃ ἀλέεινεν.
Ἀλλ' ὅτε δή μιν ἐγὼν ἐλόεθρον καὶ χρῖσα ἐλαίῳ,

Caterum poſtquam immiſit, juſſitque vinum infundere,
Denuò verbis excipiens alloquuta eſt,
" Atride Menelaë, a Jove nutrite, atque etiam hi
" Virorum fortium filii, porrò Deus aliud in alium
" Jupiter bonúmque malúmque confert; poteſt enim omnia.
" Sanè nunc convivamini, ſedentes in domibus,
" Et ſermonibus delectamini: decentia enim ordine dicam.
" Omnia quidem non ego enarrare queam, neque nominare,
" Quot Ulyſſis patientis ſunt certamina:
" Sed qualiter iſtud fecit, & ſuſtinuit fortis vir
" Populo in Trojanorum, ubi paſſi eſtis ærumnas Græci:
" Seipſum plagis indecentibus domando,
" Vilibus pannis circumjectis ad humeros, ſervo ſimilis,
" Virorum hoſtium ingreſſus eſt urbem latam:
" Alio verò ſeipſum viro diſſimulans aſſimilavit
" Mendico, qui neutiquam talis erat apud naves Græcorum:
" Huic ſimilis ingreſſus eſt Trojanorum urbem, illi vero ignorabant
" Omnes: ego verò ipſum ſola agnovi talem exiſtentem,
" Et ipſum interrogabam: ille verò prudentiâ tergiverſabatur.
" Sed quando certò ipſum lavi & unxi oleo,

ΣΧΟΛΙΑ.

233. Οἰνοχοῆσαι.] Κερᾶσαι.
238. Ἦτοι νῦν δαίνυσθε.] Τὸ ἐξῆς, Ἀτρεΐδη καὶ παῖδες, ἦτοι νῦν δαίνυσθε· Ζεὺς γὰρ ἄλλοτε ἄλλα ἐφιστοιεῖ. νῦν μέντοι ἡμῖν τὸ εὐωχεῖσθαι.
239. Καταλέξω.] Ἐρῶ τὰ ὑπὸ.
241. Ἄεθλοι.] Ἆθλοι, ἀγῶνες.
244. Αὐτόν μιν.] Δύο ἰστορίαν ἀντωνυμίαν ἀντὶ μιᾶς παραλαμβάνουσι. Ἀεικελίῃσι.] Δεινοπαθέσι, δεινοῖς, χαλεποῖς.
245. Σπεῖρα κάκ'.] Ἱμάτια, ἐνδεδύκει δὲ κακὰ, ἵνα δηλώσῃ ῥάκη. Οἰκυῖ.] Οἰκέτῃ, δήλῳ.
246. Ἀνδρῶν δυσμενέων.] Οἱ μὲν ἵνα μετρήσῃ τὸ πῆχος, οἱ δὲ, ἵνα πείσῃ τῷ Ἑλένῳ συνεργῆσαι τοῖς Ἕλλησι. Κατέδυ.] Εἰσῆλθεν.
247. Ἤισκεν.] Ἀπεικάζει, ὁμοιοῦτο.
248. Δέκτῃ.] Ἐπαίτῃ, ἀπὸ τοῦ δέχομαι. Ὃς ἤδη πῶϊς ἦεν.] Τὸ δὲ παιδίσκη.
249. Ἀβάκχευτον.] Ἡγνόησαν· παρὰ τὸ βάζω ἐβάκχευσα· ἡ δὲ λέξις, ἐπ' ἄπακτ εἰρημένων ἐστίν.
221. Ἕρκατο, χωρὶς μὲν πρόγονοι) Huc refer *Hesych.* in v. Πρόγονοι, ubi hic locus expenditur, ut in Not. ad *Er. Scholia.*

225. Τυρῶν αἰνυμένους) Ità mox τυρῶν αἰνύμενοι. Ἀττικῶς· ὁ γὰρ πάντας ἐκεῖ τοὺς τυροὺς ἐν αἰνεῖ, ἀλλὰ μιᾷ· αὐτῶν. *Eustath.* ad *Iliad.* fol. 1292. lin. 31. & ad *Odyss.* fol. 351. lin. 9. Τὸ δὲ τυρῶν αἰνυμένους.

NOTÆ IN SCHOLIA.

221. Πρόγονοι) *Hesych.* Πρόγονοι) οἱ πεζοβοίοτεροι ἄρνες· οἱ δὲ μετ' αὐτούς. Μέσσαι. Ἕρσαι δέ, ἀπαλοὶ ἐν τῷ ἔαρι χιμῶνες. Ἕρκατο χωρὶς μὲν πρόγονοι· χωρὶς δὲ μέσσαι· χωρὶς δὲ αὖθ' ἕρσαι. *Aristoph.* Grammat. apud *Eustath.* fol. 349. lin. 51. Τῶν αἰγῶν, οἱ μὲν τέλειοι, τράγοι καὶ ἴσχαλοι· ὁ δὲ ἐχομένη ἡλικία, χίμαροι· τὰ δὲ νεώτατα, ἔριφοι. Ὁ δὲ Ποιητὴς ἐν Ὀδυσσείᾳ.

VARIÆ LECTIONES.

223. Τοῖς ἐνάμελγεν) *sc.* πῖσιν ἄμελγεν, *Er. Schol.*

225. Αἰνυμένους) *sc.* ἀχθομένους, *Eustath.* fol. 351. lin. 25.

231. Ἐμείναμεν) *sc.* ἰδύσαμεν, vid. Not. in *Textum.*

Τυρῶν

ἀπὸ τ' ἔρπες· ἢ ἐνδιαῖς τῇ ἡλικίᾳ. Νᾶεν.] Νῦν, ἀντὶ τοῦ ναίουσι καὶ κατοικοῦσι· ἢ ἐπιπλέοντες, ἢ ἄκλητοι. Ὀρεῖ.] Τῷ ἐπιφθόρῳ γαλακτι, ἢ τῇ ὑποστάσει τοῦ γαλακτος· οἱονεὶ γὰρ λέγεται, ἢ τοῦ γαλακτος ὑπόστασις.

223. Γαυλοί τε] Ἀγγεῖα τινα μικρὰ σκαφοειδῆ, εἰς ἃ αἱ ποιμένες ἀμέλγουσι δίχα τοῦ γάλα. Εὐθητοὶ δὲ εἰς τυρῶν ἀπόθεσιν. Σκαφίδες] σκαφοειδεῖς, αἱ σκάφαι. Τετυγμένα.] Κατασκευασμένα. Τοῖσιν.] Ἐν οἷς.

225. Αἰνυμένους.] Αἴροντας. βαστάζοντας.

230. Ἐρατεινὸς.] Ἀγαπητὸς καὶ ἐπίφατος. Ἢ ἡδὺς καὶ φιλόξενος.

231. Κείαντες.] Καύσαντες, ἀνάψαντες.

NOTÆ.

Ἀττικῶς ἐρρέθη, ἀντὶ τοῦ ἐκ τῶν τυρῶν ἔφαγον· ὁ γὰρ πάντας ἐκεῖ τοὺς τυροὺς ἤθελον φέρειν τοὺς ποιμένας. Οὕτω καὶ λίαν βοὸς βεβρωκέναι τὸν λέγουσι, καὶ μαίνης λάκκοισβάζει, φύλλων ἀύσης φασίν. Vid. ad *Anacreon.* v. 323.

231. Ἐμείναμεν) Hanc vocem è *Textu* rejiciunt Edit. *Henr. Stephani*, *Romana Eustathii* & *Basil. Cantabr. Oxon.* &c. interque *Var. Lect.* ponunt, le-

SCHOLIA.

τὰ τίλλα μὲν, πρόγονοι καλεῖ· τὰ δὲ μὴ πάνυ, μέσσοι· τὰ δὲ ἔτι νεώτερα, ἔρπες· καὶ ἰσοδυναμεῖ ὁ καλὸς ἡλικία τις· καὶ κρεττῶνες, καὶ ἐπικρατέστεροι· ὅτι καὶ πιοτέρα. Αἰγὸς ἐπικρατείας ἐγγὺς πέφυκε κέρας. *Æschylus* in *Agamemn.* tenecros Ovium pullos δρόσους vocat, ut hic ἔρπας, agnellos *Homerus.*

Τυρῶν αἰνύμενοι Φάγομέν· μένομέν τέ μιν ἔνδον
Ἤμενοι, ἕως ἐπῆλθε νέμων· Φέρε δ' ὄβριμον ἄχθος
Ὕλης ἀζαλέης, ἵνα οἱ πολυδόρπιον εἴη·
Ἔκποθεν δ' ἄντρου βαλὼν ὀρυμαγδὸν ἔθηκεν·
Ἡμεῖς ᾧ δείσαντες ἀπεστύμεθ' ἐς μυχὸν ἄντρου.
Αὐτὰρ ὅγ' εἰς εὐρὺ σπέος ἤλασε πίονα μῆλα
Πάντα μάλ', ὅσσ' ἤμελγε, τὰ δ' ἄρσενα λεῖπε θύρηφιν,
Ἀρνάς τε, τράγους τὲ, βαθείης ἔκτοθεν αὐλῆς.
Αὐτὰρ ἔπειτ' ἐπέθηκε θυρεὸν μέγαν ὑψόσ' ἀείρας,
Ὄβριμον· οὐκ ἂν τόν γε δύω καὶ εἴκοσ' ἅμαξαι
Ἑδριόωντες, τετραβάκυκλοι, ἀπ' οὐδεος ὀχλίσειαν·
Τόσσην ἠλίβατον πέτρην ἐπέθηκε θύρῃσιν.
Ἑζόμενος δ' ἤμελγεν ὅις καὶ μηκάδας αἶγας,
Πάντα κατ' μοῖραν, καὶ ὑπ' ἔμβρυον ἧκεν ἑκάστῃ.
Αὐτίκα δ' ἥμισυ μὲν θρέψας λευκοῖο γάλακτος,
Πλεκτοῖς ἐν ταλάροισιν ἀμησάμενος κατέθηκε·

" Caseos fumentes comedimus, expectavimusque ipsum intus
" Sedentes, donec venit Pastoris more: ferebat autem ingens pondus
" Ligni aridi, ut illi ad cœnam esset:
" Extrà itaque antrum dejiciens strepitum fecit;
" Nos autem perterriti discurrimus in recessum antri.
" Cæterùm ille in latam speluncam egit pinguia pecora,
" Omnia prorsum, quæ mulgebat: arietes reliquit foris,
" Arietesque, hircosque, altam extrà aulam.
" Cæterùm deinde admovit repagulum ingens altè levans,
" Grave: non illud duo & viginti currus
" Fortes quaternis rotis à solo dimovere potuissent:
" Tantam excelsam petram admovit januæ.
" Sedens itaque mulsit oves & balantes capras,
" Omnia, ut decebat, & fœtum submisit singulis.
" Statim autem dimidium coagulans albi lactis
" Textilibus in calathis constructum reposuit:

Σ Χ Ο Λ Ι Α.

232. Αἰνύμενοι.] Λαμβάνοντες.
233. Νίμεμεν.] Βόσκειν. Ἄχθος.] Φόρτος, * βάρος τῆς ὕλης.
234. Ἀζαλέης.] Ξηρᾶς. Ἵνα οἱ πολυδόρπιον εἴη.] Ἀντὶ τοῦ, ἵνα αὐτῷ δειπνῆται φῶς πυρείῳ.
235. Ἔκποθεν δ' ἄντρου βαλών.] Δηλονότι, τὴν συρφετώδη ὕλην.
236. Ἀπεστύμεθα.] Ἀπεχωρήσαμεν.
238. Θύρηφιν.] Ἔξω.
240. Θυρεόν.] Τὸν μοχλόλιθον.
242. Τετραβάκυκλοι.] Τετράτροχοι. Ὀχλίσειαν.] Κινήσειαν.
243. Ἠλίβατον.] Ὑψηλόν. Τόσσην.] Τοσαύτην.
245. Ἔμβρυον ἧκεν.] Ὑπέθηκεν ἔμβρυον. Ὄμως δὲ ἡ, ἰστέον ὅτι συνηθείας, βρίφος μὲ λέγει τὸ καὶ ζωρὸν. Ἔμβρυον δὲ, νεογνὸν, ἢ τὸ τίκτον.
246. Θρέψας.] Πήξας.
247. Ἀμησάμενος.] Περισκαλεύσας, συναγαγών.

N O T Æ.

gentes ἰθύσαμεν, in *Textu*. Verùm hanc Lectionem hoc in loco *Sensus* vix admittit, & *Florentina*, omnium Vetustissima habet, ἰμείραμεν, ut & *Aldina*, *Lovan.* & *Castell.* quod melius. Quomodo enim imparati in Antro alieno sacrificarent, de rebus non suis? Fateor tamen infrà etiam sequi, μήσομέν τέ μιν ἔνδον. Nisi forte quis ad illorum referat metum; ut sacrificarent, periculi metu. Videsis *Meric. Casaubon.* De nuperâ *Homeri* Edit. §. 1. p. 27.

233. Ἤμενοι. ἕως ἐπῆλθε) De *Amphibrachy* in Secundo loco, diximus ad η'. v. 280. & ad δ'. v. 90. & 120.

237. Πίονα μῆλα) Mox dividit inter ἄρσενά τε τράγους τὲ, de quâ re, vid. suprà, ad v. 184.

242. Ἑδριόωντες, τετραβάκυκλοι) Olim πετραβάκυκλοι, quòd Vox illa occurat in *Iliad.* α'. v. 324. at πετραβάκυκλος est Vox huic loco, & *Homero*, aptior, quomodò τετραβάβειον, *Iliad.* ψ'. v. 705. Τετράκυκλος certè nequaquam hujus loci, quare ad *Var. Lect.* rejicio; relinquo tamen in *Br. Schol.*

245. Πάντα κατ' μοῖραν) *Ultima* & κατὰ producitur, in *Cæsurâ*, vi *Toni*, & ante *Liquidam*, ut mox, v. 299. Τὸν μὲ ἐγὼ βάλλουσα κατὰ μεγαλήτορα θυμόν· & *Odiss.* μ'. v. 35. Αὐτὰρ ἐγὼ τῷ πάντα κατὰ μοῖραν κατέλεξα. Ità etiam sine *Toni* adjumento, *Iliad.* χ'. v. 133. Σεῖο δ' Πηλιάδαο μελίην κατὰ δεξιὸν ὦμον. *Ibid.* Ὑπ' ἔμβρυον ἧκεν) Ex hoc loco & alio *Iliad.* ψ'. v. 266. conflat, *Homerum* voces βρέφος & ἔμβρυον contra nostrum usum vicissim usurpare; de quâ re *Eustath.* fol. 352. lin. 30. & *Br. Schol.* Illinc *Theocr.* §. 9 v. 3. Μέσχοι ἔασιν ὑφήτες.

NOTÆ IN SCHOLIA.

233. * Βάρος τῆς ὕλης) Ex *Aloysii* MSto.

Variæ Lectiones.

241. Ἄμυξαι] ℞. ἄμοξαι, vid. ad *Il.* σ'. v. 487. 242. Τετραβάκυκλοι) ℞. πετραβάκυκλοι, vid. N. in *Textum*.

ΤΗΣ

ΤΟΥ ΟΜΗΡΟΥ

ΟΔΥΣΣΕΙΑΣ

ΡΑΨΩΙΔΙΑ, ἢ ΓΡΑΜΜΑ, Ι'.

Ὑπόθεσις τῆς ῥαψῳδίας Ι.

Ἀρχὴ τ Ὀδυσσείας διηγημάτων, ἃ εἰς φασὶ παλαιμηδείαν τὴν Κίκωσι, καὶ εἰς τοὺς Λωτοφάγους παραγενέσθαι, καὶ εἰς τ Κύκλωπα Πολύφημον πεποιῆσθαι· καὶ τίνα φαγόντα ἐξ ἕλη ἑταίρους ἀπολλῦσαι.

Ἐπιγραφαί.

Τὰ εἰς Κίκωνας, καὶ Λωτοφάγους, καὶ Κύκλωπας.

Ἄλλως.

Κυκλωπεία.

Ἄλλως.

Λωτοφάγων, Κικόνων, καὶ Κυκλώπων, Ἰώνων. L 1 B. IX.

Τόνδ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς,
Ἀλκίνοε κρεῖον, πάντων ἐξοχώτατε λαῶν,
Ἦ τοι μὲν τόδε καλὸν ἀκουέμεν ἐστὶν ἀοιδοῦ
Τοιοῦδ', οἷος ὅδ' ἐστί, θεοῖς ἐπιείκελος αὐδήν·
Οὐ γὰρ ἔγωγέ τι φημὶ τέλος χαριέστερον εἶναι,
Ἢ ὅταν εὐφροσύνη μὲν ἔχῃ κατὰ δῆμον ἅπαντα,
Δαιτυμόνες δ' ἀνὰ δώματ' ἀκουάζωνται ἀοιδοῦ,

HUnc excipiens alloquurus eſt verſurus Ulyſſes,
" Alcinoë imperator, omnium eminentiſſime populorum,
" Certe hoc jucundum eſt, audire cantorem
" Talem, qualis hic eſt diis aſſimilis voce:
" Non enim ego quippiam puto tandem elegantius eſſe,
" Quàm quotes lætitia quidem detineat populum univerſum,
" Convivantesque per domum audiant cantorem,

Σχόλια.

5. Οὐ γὰρ ἔγωγέ τι φημί.] Ταῦτα ἁρμοζόμενος τῷ καιρῷ λέγει, ἐπεὶ καὶ πάντες ἦσαν βίον τέλος εἶχεν τὸν ἥδιστον, ἀπὸ συμποσίου πνές.

6. Εὐφροσύνη.] Θυμηδία.

7. Ἀκουάζωνται.] Ἀκροῶνται. Ἔνιοι, ἀκουάζονται.

Notæ.

V. 3. Ἦτοι μὲν τόδε καλὸν) Felicitatem Populi ſub benigno & pacifico Rege degentis depingit. Cui ſimilis locus, 1 *Reg.* c. 4. v. 20. *Juda* & *Iſrael* plurimi erant, &c. Comedentes & Bibentes & Lætantes, *viz.* ſub *Solomone* Rege. Qui & *Eccleſiaſtæ* c. 5. v. 18. Eſt hoc Bonum & Pulcrum, ut quis Comedat & Bibat & fruatur lætitiâ. Huc refer *Er. Schol.* item *Seneca* Epiſt. 88. ubi de *Homero*; *Angel. Politian.* fol. 485. Edit. *Baſil.* & *Plutarch.* Vitâ *Homeri*, §. 18.

5. Οὐ γὰρ ἔγωγέ τι φημὶ.] D. *Baſil.* ὡδὲ τὰς λέξεις. Οὐ τοίνυν ἐκπλαγήσῃ τὰς πομπάς. — ἐχ ὅτι τερπτὸν τὸ πλῆθος καὶ φίλαι ἀκοαὶ ἁπάντων τῶν εὐδαιμονίαν ἀγόντων.

6. Ἢ ὅταν εὐφροσύνη μὲν ἔχῃ) *Eratoſthenes* apud *Athenæum*, pro καλὸν δῆμον ἅπαντα, legendum voluit, κακόπους ἀκούειν, quam Emendationem rectè rejicit *Athenæus*, & *Caſaubonus* ad *Athen.* l. 1. c. xiv. Vid. *Duport.* Gnomolog. in locum.

Notæ in Scholia.

V. 7. Ἔνιοι, ἀκουάζονται)) In *Aldinâ* deſunt.

Variæ Lectiones.

V. 5. Αὐδὴν) χρ. αὐδῇ. *Strabo*, fol. 959.

6. Ἔχῃ) γρ. ἴσῃ. *H. Steph.* *Ibid.* Κατὰ δῆμον ἅπαντα) γρ. κακόπους ἀκούειν, vid. N. in *Textum.*

7. Ἀκουάζωνται)) γρ. ἀκουάζονται. *H. Steph.*

Ἤμβροι

Ἥμθμοι ἑξείης· ϖλῆχ᾽ ἢ πλήθωσι τράπεζαι·
Σίτε τ᾽ ἀμεινῶν· μέθυ δ᾽ ὃν κρητῆρος ἀφύσσων
Οἰνοχόος φορέηται ἀ᾽ ἐσχείη δεπάεσσιν·
Τῶτο τί μοι κάλλιστον ἐνὶ φρεσὶν εἴδεται εἶναι.
Σοὶ δ᾽ ἐμὰ κήδεα θυμὸς ἐπεπταίτω γοόεντα
Εἴσεθ᾽, ὄφρ᾽ ἔτι μᾶλλον ὀδυρόμενος γοάχίζω.
Τί πρῶτον, τί δ᾽ ἔπειτα, τί δ᾽ ὑστάτιον καταλέξω;
Κήδε᾽ ἐπεί μοι πολλὰ δόσαν θεοὶ οὐρανίωνες.
Νῦν δ᾽ ὄνομα πρῶτον μυθήσομαι, ὄφρα καὶ ὑμεῖς
Εἴδῆτ᾽· ἐγὼ δ᾽ ἂν ἔπειτα, φυγὼν αἶσιμον ἦμαρ,
Ὑμῖν ξεῖνος ἔω, καὶ ἀπόπροθι δώματα ναίων·
Εἰμὶ Ὀδυσσεὺς Λαερτιάδης, ὃς πᾶσι δόλοισιν
Ἀνθρώποισι μέλω, καί μου κλέος οὐρανὸν ἵκει.
Ναιετάω δ᾽ Ἰθάκην εὐδείελον· ἐν δ᾽ ὄρος αὐτῇ
Νήϊον, εἰνοσίφυλλον, ἀειπρεπές· ἀμφὶ δὲ νῆσοι
Πολλαὶ ναιετάουσι μάλα σχεδὸν ἀλλήλῃσι,
Δουλίχιόν τε, Σάμη τε, καὶ ὑλήεσσα Ζάκυνθος·
Αὐτὴ δὲ χθαμαλὴ παυπερτάτη εἰν ἁλὶ κεῖται
Πρὸς ζόφον· αἱ δέ τ᾽ ἄνευθε πρὸς ἠῶ τ᾽ ἠέλιόν τε,
Τρηχεῖ᾽, ἀλλ᾽ ἀγαθὴ κουροτρόφος· οὔπω ἔγωγε

" Sedentes ordine; juxta itidem implentur mensæ
" Pane & carnibus; vinumque ex cratere hauriens
" Puncerna adstat & infundat pocula:
" Hoc quiddam mihi pulcherrimum in mente videtur esse.
" Tibi verò animus meos dolores cupit lacrymosos
" Inquirere; ut adhuc magis lugens ingemiscam.
" Quid primùm, quid deinde, quid ultimùm narrabo?
" Dolores quandoquidem mihi plures dederunt Dii cœlestes.
" Nunc verò nomen primùm dicam; ut & vos
" Sciatis; egoque, postquam effugi sævum fatum,
" Vobis hospes sim, etiam longè domum habitans:
" Sum Ulysses Lærtiades, qui omnibus dolis
" Hominibus curæ sum, & mea gloria cœlum attigit:
" Habito autem Ithacam clarissimam: in ipsa verò mons est
" Neritus, multis arboribus clarus: circumque insulæ
" Plures inhabitantur valde prope invicem,
" Dulichiumque, Sameque, & nemorosa Zacynthus:
" Ipsa autem terræ-continenti-finitima supereminens in mari jacet
" Ad Occasum, illæ verò seorsum ad auroram solemque
" Asperа, sed bona juvenum altrix. Nihil ego

ΣΧΟΛΙΑ.

8. Πλήθωσι.] Πιπλήσωσι.
9. Ἀφύσσων.] * Ἀρυόμενος, ἀπαντλῶν.
10. Ἐγχείῃ.] Ἐγχύῃ.
11. Εἰδῆται.] Φαίνεται, δοκεῖ.
12. Ἐπτοησόμενος.] Πεπληγμένος.
14. Ὑστάτιον.] Ἔσχατον.
20. Μέλω.] Ἐν ἐπιμελείᾳ εἰμί.
21. Ναιετάω.] Οἰκῶ. Εὐδείελον.] Πολὺς δύσιν τε ἄλλων κεκλῆσθαι. * Εὐδείελον.] Ἵνα τι ἐπιφανῆ, εὖ σοῖς τὴν δηλῶν κεκμήλιον· εἰ δὲ σημαίνῃ τὴν αὔγασιν, ἐκ συνεχοῦς ἀναίγκης· ἄλλη γάρ ἐστιν ἡ τοῦ ἡλίου αὐγή. ὅθεν καὶ τὸ εἰληθερεῖν, τὸ ἡλίῳ χρῆσθαι.
22. Νέριθεν.] Ὄρος Ἰθάκης. Εἰνοσίφυλλον.] Κινησίφυλλον. Ἔνοσις γάρ, ἡ κίνησις.
24. Δουλίχιον.] Μία τῶν Ἐχινάδων. Ὑλήεσσα.] Ὑλώδης, σύμφυτος.
25. Χθαμαλή.] Ταπεινή, χαμαὶ τὴν θέσιν· πῶς ἂν παυπερτάτη ἡ τῇ λέξει, ἡ σχετικῶς τῶν ἄλλων, ὡς σοῖς δύσιν. Παυπερτάτη.] Ὑπερκεῖσθαι κειμένη.
26. Ζόφον.] Νῦν, δύσιν. Ἠῶ.] Νῦν, τὴν ἀνατολήν.
27. Κουροτρόφος.] Νεωτέρων τροφός.

ΝΟΤΑ.

25. Αὐτὴ δὲ χθαμαλὴ παυπερτάτη) *Strabo*, fol. 454 Καὶ τοῦτο δηλοῖ ὑπερκεῖσθαι τοὺς ἄλλους· Χθαμαλὴ μὲν γάρ, ἡ πανταχῇ κεκλιμένη· παυπερτάτη δὲ, ἡ ὑψηλοτάτη, κλ. Ἐξηγοῦνται δὲ οἱ κακῶς, ὅτι δὲ χθαμαλὴ δίκροος.

NOTÆ IN SCHOLIA.

9. * Ἀρυόμενος) Ita pro ἀρύσσων.
21. * Εὐδείελον &c. ad finem, ex *Aloysii* MSto.
25. Χθαμαλὴ) Ad hujus *Scholii* explicationem facit locus *Strabonis*, quem vid. Not. in *Textum*.

VARIÆ LECTIONES.

9. Δ᾽ ἐκ κρητῆρος] γρ. ἢ κρητῆρος. *Max. Tyr.* §. 37.
10. Φορέηται) γρ. φορεῖται, *Max. Tyr.* ibid. at sequens vox ἐσχείῃ rejiciat hanc *Lectionem*.
19. Εἰμὶ] γρ. εἰμὶ, pro εἰμὶ.
21. Εὐδείελον) γρ. ἐκπάλαιον, *Xylander* in *Strabon.* fol. 696 malè, ut ex *Homero*, *Odyss. δ'*. v. 605.
22. Νέριθεν) γρ. Νήριον, ut ω'. v. 376. Vid. *Eustath.* in illud *Dionys. Περιηγ.* v. 495. Τῷδ᾽ ἔπι Νηρικίης Ἰθάκης ἰδὲς ἐσσεμάσσῃ.

Hæc

Ἧς γαίης δύναμαι γλυκερώτερον ἄλλο ἰδέσθαι.
Ἦ μήν μ' αὐτόθι ἔρυκε Καλυψὼ, δῖα θεάων,
Ἐν σπέσσι γλαφυροῖσι, λιλαιομένην πόσιν εἶναι·
Ὡς δ' αὔτως Κίρκη κατερήτυεν ἐν μεγάροισιν
Αἰαίη, δολόεσσα, λιλαιομένην πόσιν εἶναι·
Ἀλλ' ἐμοὶ οὔποτε θυμὸν ἐνὶ στήθεσσι πίθοντο.
Ὡς γὰρ γλύκιον ἧς πατρίδος γαῖάν τε τοκῆάν
Γίνεσθ', εἴπερ καί τις ἀπόπροθι πότμον ἐπέσπεν
Γαίῃ ἐν ἀλλοδαπῇ ναίειν ἀπάνευθε τοκήων.
Εἰ δ' ἄγε τοι καὶ νόστον ἐμὸν πολυκηδέ' ἐνίσπω,
Ὃν μοι Ζεὺς ἐφέηκεν ἀπὸ Τροίηθεν ἰόντι.
Ἰλιόθεν μὲ Φέρων ἄνεμος Κικόνεσσι πέλασσεν,
Ἰσμάρῳ· ἐνθάδ' ἐγὼ πόλιν ἔπραθον, ὤλεσα δ' αὐτούς.
Ἐκ πόλιος δ' ἀλόχους τε καὶ κτήματα πολλὰ λαβόντες
Δασσάμεθ', ὡς μήπις μοι ἀπεμβεβόλοιτο ἴσης·
Ἔνθ' ἦτοι μὰν ἐγὼ διερὸν πὰρ φεύγεμεν ἡμέας
Ἠνώγεα· τοὶ δ' οὐ μέγα νήπιοι οὐκ ἐπίθοντο.
Ἔνθάδε πολλὸν μὰν μέθυ πίνετο, πολλὰ δὲ μῆλα
Ἔσφαζον ἀνὰ θῖνα, καὶ εἰλίποδας ἕλικας βοῦς.

" Suâ cujusque terrâ possum dulcius aliud videre.
" Certe quidem me illic detinuit Calypso, diva dearum,
" In speecubus cavis, cupida maritum esse:
" Consimiliter Circe detinuit domi suæ
" Ææa, dolosa, cupiens maritum esse:
" Sed meum nunquam animum intra præcordia persuaserunt.
" Adeò nihil dulcius suâ patriâ neque parentibus
" Est, etsi & quis longè procul divitem domum
" Terrâ in alienâ habitet seorsum à parentibus.
" Agè verò tibi & reditum meum lacrymosum dicam,
" Quem mihi Jupiter immisit à Trojâ profecto.
" Ab Ilio me ferens ventus Ciconibus appulit
" Ad Ismarum; ibi ego urbem depopulatus sum, occidique ipsos insolos.
" Ex urbe verò uxoribus & bonis multis acceptis
" Ea divisimus, ut non aliquis mihi privatus abierit suâ parte:
" Tum verò quidem ego celeri pede fugere nos
" Jussi: hi verò valdè stulti non parebant.
" Hic multum quidem vini bibitum est, multas item oves
" Macabant ad littus, & flexipedes nigros boves.

ΣΧΟΛΙΑ.

31. Καπερήτυεν.] Καπῖχεν.

32. Αἰαίη.] Ἐξ Αἰαίας νήσου τῆς Τυρρηνίας, ἣ Κολχικῆς. Αἶα γάρ ἡ πόλις τῆς Κολχίδος. * Νῦν δὲ Αἰαίη ἐστὶν ἡ τῆς Κίρκης νῆσος, ἡ πλησίον ἔστι κεῖται τῆς ἰταλικῆς παραλίας τῆς εἰς αὐτὴν, παρὰ τὸ κῖο καὶ ἡρακλεώτικον ἐπίνειον. Λιλαιομένην.] Ἐπιθυμοῦσαν.

34. Γλύκιον.] Γλυκύτερον, ἡδύτερον.

36. Ἀποδυσῇ.] Ἀποφύλου, ξένη. Ναίειν.] Οἰκεῖν.

37. Πολυκηδέα.] Πολλῶν κακῶν πλέον. Ἐνίσπω.] Ἐρῶ, λέξω.

38. Ἔφεκε.] Ἐπέπεμψε. Ἰόντι.] Ἐπανιόντι.

40. Ἰσμάρῳ.] Ἴσμαρος πόλις τῆς Κικονίας, ἅπερ τῶν * Μαρώνεια λέγεται. Πόλιν ἔπραθον.] Ἐπὶ οἱ Κίκονες τῷ Πελάσῳ συνεμάχησαν, Κικόνων ἀγνῶτες Μίντῃ.

42. Δασσάμεθα.] Ἐμερισάμεθα. Ἀπεμβεβόλοιτο.] Σπερισάμενος. Κίοι.] Ἀπέλθοι. Ἴσης.] Ἰσάζων.

43. Διερὸν πεδίον.] Μεταφορικῶς, τῷ γὰρ οἱ ὁ διερὸς, τοῦ ἐξοῖ, ἐκ τοῦ ἰχῶρ· οἱ ὁ, τοῦ ζῶντι, ἐπεὶ ξηροὶ οἱ λιπαροσάρκοι. ἐκ δὲ ἑτέρου, * διερὸς βορρᾶς, φησὶ· οἱ ὁ, τῷ κύριος· οἱ ὁ, τοῦ διερὸν ἐκ τῆς θαλάσσης, περὶ ξηρασίαν τῶν βαίνειν ἐργασίαν· λέγει ὁ τὸ ἰδρῶτα.

44. Ἠνώγεα.] Ἐκέλευον.

* Odyss. ζ. v. 201.

NOTÆ IN SCHOLIA.

32. Αἰαίη) In hoc *Scholio*, pro * Αἰαίαν, lego, * Αἶα γάρ ἡ πόλις τῆς Κολχίδος, ex *Stephano*, ἐν τῷ πόλεων & *Eustath.* fol. 333. lin. 36. ut ostendo in Not. ad *Scholia, Iliad.* β'. v. 856. * Νῦν δὲ Αἰαίη κλ. ex *Aloysii* MS.

40. Ἰσμάρῳ) * Μαρώνεια scribo, pro * Μαραθών. Ità *Eustath.* fol. 335. lin. 19. Ἡ δὲ ῥηθεῖσα Ἴσμαρος, ἡ καὶ Ἰσμάρα οὖσα, Κικόνων ἐστὶ πόλις, ἐγγὺς Μαρωνείας. *Steph.* ἐν τῷ πόλεων, v. Ἴσμαρος, & Μαρώνεια. Nomen post habuit à *Marone*, *Evanthis* filio, qui erat *Bacchi*, vid. infrà. *Br. Schol.* ad v. 197. Vid. *Suidam*, v. Ἰσμαρικὸς οἶνος.

VARIÆ LECTIONES.

34. Γλυκίον ἢ πατρίδος) γρ. γλυκίον γ' ἢ πατρίδα, & γλυκίον γῆς πατρίδος, *Anthol.* fol. 83.

36. Ναίειν) γρ. ναίῃ, *Eustath.* fol. 333. lin. 44. nec vidit *H. Steph.*

40. Ἐνί) γρ. ἰών, at non benè, ante *Consonam.*

Τόφρα

Τόφρα δ' ἄρ' οἰχόμενοι Κίκονες Κικόνεσσι γεγώνευν,
Οἵ σφιν γείτονες ἦσαν ἅμα πλέονες καὶ ἀρείους,
Ἠπείρου ναίοντες, ἐπιστάμενοί μὲν ἀρ' ἵππων
Ἀνδράσι μάρνασθαι, καὶ ὅθι χρὴ πεζὸν ἐόντα.
Ἦλθον ἔπειθ', ὅσα φύλλα, καὶ ἄνθεα γίνεται ὥρῃ,
Ἠέριοι· τότε δὴ ῥα κακὴ Διὸς αἶσα παρέστη
Ἡμῖν αἰνομόροισιν, ἵν' ἄλγεα πολλὰ πάθωμεν.
Στησάμενοι δ' ἐμάχοντο μάχην ὡδὲ νηυσὶ θοῇσι·
Βάλλον δ' ἀλλήλους χαλκήρεσιν ἐγχείῃσιν.
Ὄφρα μὲν ἠὼς ἦν, καὶ ἀέξετο ἱερὸν ἦμαρ,
Τόφρα δ' ἀλεξόμενοι μένομεν πλέονάς περ ἐόντας·
Ἦμος δ' ἠέλιος μετενείκετο βουλυτόνδε,
Καὶ τότε δὴ Κίκονες κλῖναν δαμάσαντες Ἀχαιούς.
Ἐξ δ' ἀφ' ἑκάστης νηὸς εὐκνήμιδες ἑταῖροι
Ὤλοντ'· οἱ δ' ἄλλοι φύγομέν θ' ἅμα κήρ τε μόρον τε.
Ἔνθεν δὴ παρτέρω πλέομεν ἀκαχήμενοι ἦτορ,
Ἄσμενοι ἐκ θανάτοιο, φίλους ὀλέσαντες ἑταίρους.
Οὐδ' ἄρα μοὶ παρτέρω νῆες κίον ἀμφιέλισσαι,

" Interea verò d'greſſi Cicones Ciconibus acclamabant,
" Qui ipſis vicini erant ſimul plures & meliores,
" Continentem habitantes, doctiquidem ab equis
" Hominibus pugnare, & cum opus eſſet pedestri pugnare.
" Venerunt continuò, quot folia & flores ſunt vere,
" Matutini: tunc ſanè malum Jovis fatum affuit
" Nobis infelicibus; ut dolores multos pateremur.
" Siſtentes etenim gradum pugnabant pugnâ ad naves veloces;
" Feriebantque invicem æreis haſtis.
" Quamdiù quidem mane erat & augebatur ſacra dies,
" Tam diù defendentes ſuſtinebamus, plures licet eſſent:
" Quandò verò ſol ibat ad veſperam,
" Et tum jam Cicones invaluerunt domando Græcos.
" Sex igitur à ſingulis navibus benè ocreati ſocii
" Perierunt: alii effugerunt mortemque, fatumque:
" Illinc verò ulteriùs navigavimus triſtes corde,
" Læti ex morte *eorum*, charis amiſſis ſociis.
" Neque certè mihi ulteriùs naves procedebant utrinque agitatæ,

ΣΧΟΛΙΑ.

47. Ὀιχόμενοι.] Ἀπελθόντες. Γειτόνων.] Ἐκάλουν, ἐβόων.
49. Ναίοντες.] Οἰκοῦντες.
51. Ὤρῃ.] Τῷ ἔαρι καιρῷ.
52. Ἠέριοι.] Ὀρθριανοί.
53. Αἰνομόροισι.] Κακομόροις.
57. Ἀλιξόμενοι.] Ἀμυνόμενοι, ἢ ἀπαλίσκοντες.
58. Βάλλον.] Τὸν καιρὸν, ἐν ᾧ βόες ἀπολύονται τοῦ ἔργου.
59. Κλῖναν.] Ἐξέκλιναν, ἔτρεψαν. Δαμάσαντες.] Διελόντες.
61. Ὤλοντο.] Ἀπώλοντο.
62. Παρτέρω.] Εἰς τὸ ἔμπροσθεν. Ἀκαχήμενοι.] Λυπούμενοι.
63. Ἄσμενοι.] Εὐχαῖοι. Ὀλέσαντες.] Ἀπολέσαντες.

NOTÆ.

58. *Μετενείκετο*) *Euſtath.* fol. 335. lin. 47. Τὸ δὲ μετενείκετο, ἀντὶ τοῦ ἐπεστρέφετο, μετῆλθε, διὰ διφθόγγου γράφεται οἱ Παλαιοί· ὡς λέω τοῦ νέω, νείω, νείεται· οὕτως κτείω, κτίσω· καὶ χείω, χείσω, τὸ χωρῶ· ἐξ οὗ καὶ χειάς τὰ. Οὐδὲς δὲ ἀμφοτέρως οἶδε χωρίσαι· ἔ ἐστι, χωρίσαι· οἱ δὲ ὕστεροι, ἐκ τοῦ ε γράφουσι, ὡς λέω τοῦ νῶ, νίσω, μὴ ὂν δύο σ'. ὡς φῶ ἤθελον αὐτοὶ, οὐχ ἑπόμενοι τοῖς Παλαιοῖς.

60. Ἐξ δ' ἀφ' ἑκάστης νηὸς) Paulò infrà apparebit, *Ulyſſis* Naves Duodecim fuiſſe. v. 159. Νῆες μοὶ μετ ἔπονθ' ἑνδέκα. Periêre itaque omninò 72 Socii in hâc ad *Iſmarum* pugnâ. Neque ſe cruciet Lector, neque Poetam inculet, quod Navium numerum hic non ponat; ut ſociorum occiſorum Numerus apertiùs innoteſcat. Sciendum enim, illum in *Navium Catalogo* peni; ut *Il.* β'. v. 636. Τῶν δ' Ὀδυσσεὺς ἦρχε— τοῖσι δ' ἅμα νῆες ἴσαν ἐϋκνήμιδες ἑταῖροι. Ille autem locus omnino debet hunc præcedere. Huc refer illud *Senecæ*. De Vitæ brevitate, c. XIII. *Græcorum* iſtè morbus fuit, Quærere, quem numerum Remigum *Ulyſſes* habuiſſet; priorne ſcripta eſſet *Ilias*, an *Odyſſea*? Præterea, an ejuſdem eſſet Auctoris. *Euſtath.* fol. 334. lin. 50. Ἐνταῦθα δ' ἐπῳδὸς Ζωίλου ὁ Ὁμηρομάστιξ, λέγων, Ἀπῆσαν ἴσως ἀφ' ἑκάστης ἀπολέσθαι νεὼς, κεφάλαιον ἐξ ἐπιτάγματος· οἱ δὲ λύοντες, Ἀπολέγεται αὐτοῦ πιθανῶς ὁ δοκοῦντος ἀλογισταῖς, ὡς ἀλλογνώστοις τοῦ ἀπολωλότων τοῖς ἅπασι ναυσὶ τὸ δὲ ἐν ᾧ περαίνω ἀριθμῷ ἐπλεκόντων μιᾷ ἑκάστῃ αὐτὰ ἐξ ἀνδρῶν.

VARIÆ LECTIONES.

51. Ὤρῃ) γρ. ἔαρι, *Euſtath.* fol. 334. lin. 42. & *H. Steph.*
57. Ἀλιξόμενοι) γρ. ἀλιξόμεθα, *Br. Schol.*
58. Μετενείκετο) γρ. μετενίασε, vid. Not. in *Textum.*

Πεύ-

Πρὶν πᾶσι τοῖσδε λαοῖσιν ἑκάστην ἀῦσαι,
Οἳ θάνον ἐν πεδίῳ Κικόνων ὑπὸ δηϊοθέντες.
Νηυσὶ δ' ἐπᾶρσε ἄνεμον βορέην νεφεληγερέτα Ζεὺς
Λαίλαπι θεσπεσίῃ, σὺν δ' ἤερι πάντα κάλυψε
Γαῖάν ὁμοῦ θ' ὕδωρ τε· ὀρώρεε δ' οὐρανόθεν νύξ.
Αἱ μὲν ἔπειτ' ἐφέροντ' ὀπισάρσιαι, ἰθέα δὲ σφιν
Τειχέα τε κατὰ τε ταξαχθὰ διέχισεν ἰς ἀνέμοιο.
Καὶ τὰ μὲν ἐς νῆας κάθεμεν δείσαντες ὄλεθρον,
Αὐτὰς δ' εὐθυμίῃσι παρημείψαμεν ἠπειρόνδε.
Ἔνθα δύω νύκτας, δύο τ' ἤματα συνεχὲς αἰεὶ
Κείμεθ', ὁμοῦ καμάτῳ τε, καὶ ἄλγεσι θυμὸν ἔδοντες·
Ἀλλ' ὅτε δὴ τρίτον ἦμαρ ἐϋπλόκαμος τέλεσ' ἠώς,
Ἱστοὺς στησάμενοι, ἀνὰ δ' ἱστία λευκὰ ἐρύσαντες
Ἥμεθα· τὰς δ' ἄνεμός τε, κυβερνῆταί τ' ἴθυνον.
Καί νύ κεν ἀσκηθὴς ἰκόμην εἰς πατρίδα γαῖαν,

" Priusquam horum miserorum socio-
ruin ter unumquemque vocàtlem.
" Qui perierunt in campo à Cicr nibus
trucidati.
" Navibus autem immisit ventum Bo-
ream nubicogus Jupiter
" Cum procellâ ingenti, nubibus verò
co perut
" Terram simul & pontum, ruitque è
cœlo nox.
" Hæ quidem deinde ferebantur obli-
quæ; at vela ipsis
" In tres quatuorque partes discidit vis
venti.
" Et hæc quidem ad naves recondimus
timentes interitum:
" Ipsas verò magnâ-festinatione sub-
duximus ad continentem.
" Hic duas noctes & duos dies conti-
nenter semper
" Jacebamus, simulque labore & dolo-
ribus animum macerantes:
" Sed quando jam tertium diem pul-
chricoma perficit aurora,
" Malis erectis, velisque albis expli-
catis
" Sedimus; illas ventusque guberna-
toresque dirigebant.
" Et illæsus fortasis pervenissem in
patriam terram.

Σ Χ Ο Λ Ι Α.

65. Τρὶς ἵκεσιν ἄῦσαν.] Ἀρχαῖον ἔθος τὸ ἐπὶ ξένης ἀπολυμένων τὰς ψυχὰς ἀναπαλῶν τρίτον τὰς φιλοφρόνους. * ἐπὰν ἀπίωσιν οἴκαδε· ἢ ἵνα ϵ * εἴ τις ἵκοιτο λίσσοιτο ἐν τῷ πεδίῳ, ἀφικέσθαι.

66. Δηϊοθέντες.] Ἀναιρεθέντες.

68. Λαίλαπι.] Τῷ μετὰ ἀνέμων ὄμβρῳ.

70. Ἐπικάρσιαι.] Πλάγιαι.

71. Ἰς ἀνέμοιο.] Ἀνεμοῦ.

72. Κάθημεν.] Κατεθέμεθα.

73. Ἐϋπλόκαμος.] Περθόμενος. Περιέσαμεν.] Περιαθροιλκόμεθα.

74. Ἥμεθα.] Ἡμείμεθα. Συνεχὲς.] Συνεχῶς.

75. Θυμὸν ἔδοντες.] Τῇ ψυχῇ ἐσθίοντες, ἀντὶ τοῦ καταθύμιοι.

76. Τέλεσε.] Ἐπλήρωσε, ἐπλήρωσε.

77. Ἐρύσαντες.] Ἀνελκύσαντες.

78. Ἥμεθα.] Ἐκαθήμεθα. Ἴθυνον.] Ἐπ' εὐθείας ἔφερον.

79. Ἀσκηθὴς.] Ἰσχὺς ἐξ ἐπιμελείας.

Ν Ο Τ Æ.

65. Τρὶς ἵκεσιν ἄῦσαν) Vid. *Joh. Meursii* Spicilegium ad *Theocrit.* Idyll. 13. v. 58. Τρὶς μὲ Ἕλλην εἶπεν. *Joh. Tzetzes*, Chiliad. v. §. 14. Περὶ ἔθους παλαιοῦ. Τῶν καλῶν ἱκετηρικλάδων τρισσῶς τὸν ἐπὶ ξένης φαινόντων τὸν ἔτι φιλόπατριν, κλ. Vid. *Eustath.* fol. 335. lin. 4. Ἔδος δ' ἦν, τὰς τῶν ἐπὶ ξένης ἀπολλυμένων ψυχὰς, κλ. Huc refer Notas in locum ad *Ogilbei Homer.* fol. 115.

66. Δηϊοθέντες) Ità quidem scribendum, incontractim, verùm legendum, quasi δημοθέντες scriberetur.

72. Κάθημεν) P.o καταθέμεν, ut καταθεμένη *Hesiodo*, & κάθεο & καθέσσατο *Homero*. In *Scansione* tamen hic δακτύλου legendum, quasi κάθημεν scriberetur; certè τὸ α', ante τ' & θ', omnino corripiendum. In Hymno *Apollinis*, v. 487. καθῆστο, & v. 503. καθίσαν, pro καθεῖτο & καθέσκε, scribuntur; quidni & hic?

73. Περιέσαμεν) *Aristarchus* hoc in loco περιέσομεν legit, probabiliter, ut *Eustath.* fol. 336. lin. 20 quare inter *Varias Lectiones* saltem pono; quanquam *Henr. Stephan.* nec hoc vidit. Quin eadem Vox occurrit, *Odyss.* ε'. v. 279. Σπεύδῃ δ' ἐς λιμένα περιέσεσθαι. Et ianè περιέω propriè dicitur, quando Navem ex Portu in altum protrahunt, περιέσω, quandò ex Alto in Portum remigando reducunt.

74. Συνεχὲς) *Eustath.* fo'. 336. lin. 22. Καὶ ὅτι ἐν τούτοις τὸ συνεχὲς ἐπιτίθεται τῷ καταρχικῶς σχήματι ἀσυνήθως· διὸ νεώτεροί τινες, ἀντὶ τοῦ ἐπίπαν, ἤτοι ϵ ἐπιπλῶν διπλοῦν τὸ ἀμετάβολον, ἀλλ' ἀκίνητον. Vid. quæ Nos ad *Iliad.* μ'. v. 26.

Ν Ο Τ Æ I N S C H O L I A.

65. Τρὶς ἵκεσιν) In hoc *Scholio*, pro ἐπ' ἂν ἴσιεν, lego * ἐπὰν ἀπίωσιν & voces * εἴ τις addo.

Vari æ Lectiones.

72. Κάθημεν) γρ. κάτθεμεν. vid. Not. in *Textum*.

73. Περιέσαμεν) γρ. περιέσομεν, vid. Not. in *Textum*.

74. Συνεχὲς) γρ. συνεχὶς, vid. Not. in *Textum*.

Ἀλλὰ

80 Ἀλλά με κῦμα, ῥόος τὲ, περιγάμπτουζα Μάλεαν,
Καὶ Βορέης ἀπέωσε, παρέπλαγξεν τ' Κυθήρων.
Ἔνθεν δ' ἐννῆμαρ φερόμην ὀλοοῖς ἀνέμοισι
Πόντον ἔπ' ἰχθυόεντ'· αὐτὰρ δεκάτῃ ἐπέβημεν
Γαίης Λωτοφάγων, οἵτ' ἄνθινον εἶδαρ ἔδουσιν.
85 Ἐνθάδ' ἐπ' ἠπείρου βημεν, καὶ ἀφυσσάμεθ' ὕδωρ,
Αἶψα δ' ἕπειτ' ἐλόμην θοὰς περὶ νηυσὶν ἑταίρους.
Αὐτὰρ ἐπεὶ σίτοιό τ' ἐπασσάμεθ', ἠδὲ ποτῆτος,
Δὴ τότ' ἐγὼν ἑτάρους προπέμπων πεύθεσθαι ἰόντας,
Ἄνδρε δύω κέλομαι, πρίτατον κήρυχ' ἅμ' ὀπάσσας,
90 Οἵτινες ἀνέρες εἶεν ἐπὶ χθονὶ σῖτον ἔδοντες.
Οἳδ' αἶψ' οἰχόμενοι μίγεν ἀνδράσι Λωτοφάγοισιν.
Οὐδ' ἄρα Λωτοφάγοι μήδονθ' ἑτάροισιν ὄλεθρον
Ἡμετέροις, ἀλλά σφι δόσαν λωτοῖο πάσασθαι.
Τῶνδ' ὅστις λωτοῖο φάγοι μελιηδέα καρπὸν,
95 Οὐκ ἔτ' ἀπαγγεῖλαι πάλιν ἤθελεν, οὐδὲ νέεσθαι.
Ἀλλ' αὐτοῦ βούλοιτο μετ' ἀνδράσι Λωτοφάγοισι
Λωτὸν ἐρεπτόμενοι μενέμεν, νόστου τε λαθέσθαι.
Τοὺς μὲν ἐγὼν ἐπὶ νῆας ἄγον κλαίοντας ἀνάγκῃ,
Νηυσὶ δ' ἔνι γλαφυρῇσιν ὑπὸ ζυγὰ δῆσα ἑρύσσας.
100 Αὐτὰρ τοὺς ἄλλους κελόμην ἐρίηρας ἑταίρους

" sed me unda, æstusque, circumfidentem Malæam,
" Et boreas abjecit, & excidere fecit Cytheris.
" Hinc novem diebus ferebar adversis ventis
" Pontum per piscosum: cæterum decimo die conscendimus
" Terram Lotophagorum, qui floridum cibum edunt.
" Hic littus conscendimus, & hausimus aquam;
" Statimque prandium ceperunt celeres apud naves socii.
" Porro postquam cibum comedimus, & potum,
" Certè tum ego socios præmittebam, ut eundo percontarentur,
" Viros duobus lectis, tertium præconem simul adjungens,
" Quinam viri essent in terrâ cibum sumente.
" Hi gratum digressi venerunt ad viros Lotophagos.
" Neque sane Lotophagi parabant sociis malum quippiam
" Nostris, sed ipsis præbuerunt lotum gustare.
" Horum quicunque loti comedisset dulcissimum fructum,
" Non jam renunciare rursum voluit, neque redire:
" Sed illic volebant cum viris Lotophagis
" Lotum edendo manere, reditûsque obliv[isci].
" Hos quidem ego ad naves ducens flentes necessitate.
" Navibus in cavis sub transtra ligavi attractos.
" Cæterùm alios jussi percharos socios

ΣΧΟΛΙΑ.

80. Ῥόος.] Ῥῆς, ῥεῦμα. Περιγάμπτουζα.] Περικάμπτουσα. Μάλεαν.] Ἀκρωτήριον τῆς Λακωνικῆς· λέγει ἐπικίνδυνον· ὅτε ἡ παροιμία, Μαλέαν ἢ κάμψας, ἐπιλάθου τῶν οἴκαδε.

81. Ἀπέωσε.] Ἀπωθήσατο. Παρέπλαγξεν.] Ἀπεπλάνησεν. Κυθήρων.] Κύθηρα, νῆσος τῆς Λακωνικῆς.

82. Ὀλοοῖς.] Ὀλεθρίοις.

84. Ἄνθινον εἶδαρ.] Τὸν λωτὸν, ἢ τερφθῶ ἐξ αὐτοῦ.

85. Ἐνθάδ'.] Ἔβημεν, ἐξήλθομεν. Ἀφυσσάμεθα.] Ἠντλήσαμεν.

87. Ἐπασσάμεθα.] Ἐγευσάμεθα, ἠσθίομεν. Ποτῆτος.] Ποτοῦ.

88. Περίτ'.] Περίτατον. Πυθέσθαι.] Πυθέσθαι, μαθεῖν.

89. Τρίτατον κήρυκα.] Ἵνα μὴ εὐεπιχείρητοι ὦσι, ἀλλ' ὁ κήρυξ. Ὀπάσσας.] Παραχάς.

90. Εἶεν.] Ὑπάρχοιεν.

91. Οἰχόμενοι.] Πορευόμενοι. Μίγεν.] Ἐμίχθησαν.

92. Μήδοντο.] Ἐβουλεύοντο.

97. Ἐρεπτόμενοι.] Ἐσθίοντες.

99. Ὑπὸ ζυγά.] Ὑπὸ τὰς καθέδρας. Ἑρύσσας.] Ἑλκύσας.

NOTÆ.

88. Περίτ') De hâc voce, vid. suprà, ad ε'. v. 478. & infrà, ad κ'. v. 100.

93. Λωτοῖο πάσασθαι) De *Loto* multa *Eustath.* fol. 337. lin. 17. Vid. & *Er. Schol.* ad δ'. v. 603. & *Athen.*

NOTÆ IN SCHOLIA.

80. * Αἴας ἐπικίνδυνον) Hæc addo, ex Vett. Notis.

87. * Ἠδίομεν) Hanc vocem addo; quòd sola illa hoc in loco sit exegetica. *Hesych.* Πάσασθαι) ἐσθίειν. Infrà, v. 93. λωτοῖο πάσασθαι, mox, v. 94. καρπὸν λωτοῖο φάγοι & v. 102. λωτοῖο φαγών.

VARIÆ LECTIONES.

88. Περίτ') γρ. περῆσαι, vid. Not. ad *Textum.*

Σπερχομένους νηῶν ἐπιβαινέμεν ὠκειάων,
Μή πώ τις λωτοῖο φαγὼν, νόστοιο λάθηται.
Οἳδ' αἶψ' εἰσέβαινον, καὶ ἐπὶ κληῖσι καθίζον·
Ἑξῆς δ' ἐζόμενοι πολιὴν ἅλα τύπτον ἐρετμοῖς·
Ἔνθεν ἦ σευτέμεν πλέομεν, ἀκαχήμενοι ἦτορ.
Κυκλώπων δ' ἐς γαῖαν ὑπερφιάλων, ἀθεμίστων,
Ἱκόμεθ', οἵ ῥα θεοῖσι πεποιθότες ἀθανάτοισιν,
Οὔτε φυτεύουσιν χερσὶν φυτὸν, οὔτ' ἀρόωσιν·
Ἀλλὰ πάγ' ἄσπαρτα καὶ ἀνήροτα πάντα φύονται,
Πυροὶ καὶ κριθαὶ, ἠδ' ἄμπελοι, αἵτε φέρουσιν
Οἶνον ἐριστάφυλον, καὶ σφιν Διὸς ὄμβρος ἀέξει.
Τοῖσιν δ' οὔτ' ἀγοραὶ βουληφόροι, οὔτε θέμιστες·
Ἀλλ' οἵγ' ὑψηλῶν ὀρέων ναίουσι κάρηνα
Ἐν σπέσσι γλαφυροῖσι· θεμιστεύει δ' ἕκαστος
Παίδων ἠδ' ἀλόχων· οὐδ' ἀλλήλων ἀλέγουσι.
Νῆσος ἔπειτα λάχεια παρὲξ λιμένος τελέθουσα

" Festinantes naves conscendere celeres,
" Nè fortassis quis lotum comedens reditûs obliviscceretur.
" Hi igitur statim ingressi sunt & per transtra sederunt:
" Ordine verò sedentes canum mare verberabant remis.
" Atque illinc ulteriùs navigavimus tristes corde.
" Cyclopum autem ad terram immanium, solitariorum,
" Venimus, qui sane diis freti immortalibus,
" Neque plantant manibus plantam, neque arant:
" Sed hæc inseminata & imarata omnia proveniunt,
" Triticum & hordeum, atque vites, quæ quidem ferunt
" Vinum, ex magnis uvis, & ipsis Jovis imber incrementum dat:
" Illis verò neque conciones consiliaria sunt, neque jura;
" Sed ipsi cellorum montium inhabitant cacumina,
" In speluncis cavis; jus autem dat unusquisque
" Liberis atque uxoribus; neque se invicem curant.
" Insula deinde brevis è portu obtenditur

ΣΧΟΛΙΑ.

106. Κυκλώπων δ' ἐς γαῖαν.] Δίκαιον ἦν πλὴν Πολυφήμου· ὄχθη τὸ μὲ ὑπερφιάλων, νῦν μεγάλων· τὸ δὲ ἀθεμίστων, μὴ ἐχόντων χρείαν νόμων. Διὸ τὸ θεμιστεύει ἕκαστος Παίδων ἠδ' ἀλόχων. πῶς δὲ ἀθέμιστοι τοὺς Φαίακας καὶ Ἰλιάδην; Διὸ τὸ ἀνόμοιον τῆς πολιτείας. * Ἀθεμίστων.] Ἀκοινωνήτων.

108. Ἀρόωσιν.] Ἀροτριῶσιν.

109. Ἀνήροτα.] Ἀνάροτρα ἔσται.

111. Ἐριστάφυλον.] Ἐκ πλείω καρπῶν τῆς σταφυλῆς γινόμενον.

106. Κυκλώπων δ' ἐς γαῖαν.] Δίκαιον ἦν πλὴν Πολυφήμου· ὄχθη τὸ μὲ ὑπερφιάλων, νῦν μεγάλων· τὸ δὲ ἀθεμίστων, μὴ ἐχόντων χρείαν νόμων. Διὸ τὸ θεμιστεύει ἕκαστος Παίδων ἠδ' ἀλόχων. πῶς δὲ ἀθέμιστοι τοὺς Φαίακας καὶ Ἰλιάδην; Διὸ τὸ ἀνόμοιον τῆς πολιτείας. * Ἀθεμίστων.] Ἀκοινωνήτων.

108. Ἀρόωσιν.] Ἀροτριῶσιν.

109. Ἀνήροτα.] Ἀναροτρίαστα.

111. Ἐριστάφυλον.] Ἐκ πλείω καρπῶν τῆς σταφυλῆς γινόμενον.

112. Βουληφόροι.] Εἰς ἃς αἱ βουλαὶ ἀναφέρονται, ἵνα ἐπιτελεσθῶσι. Θέμιστες.] Καινὰ νόμιμα.

113. Κάρηνα.] Ἀκροτάτας.

114. Θεμιστεύει.] Ἄρχει. δικάζει.

116. Λάχεια.] Εὔγειος, ἢ εὐκαρπος, λαχαίνοις καὶ σπαρτοῖς δυναμένη· οἰκονομικῶς δὲ εἰς τοῦτο τὸν νοῦν κατενέχθησαν, ἵνα μὴ λοιδόρων πάντες. Παρὲξ λιμένος.] Ἔξω δὲ λιμένος. Τελέουσα.] Ἐκτείνεται, διήκει.

112. Βουληφόροι.] Εἰς ἃς αἱ βουλαὶ ἀναφέρονται, ἵνα ἐπιτελεσθῶσι. Θέμιστες.] Καινὰ νόμιμα.

113. Κάρηνα.] Ἀκροτάτας.

114. Θεμιστεύει.] Ἄρχει. δικάζει.

116. Λάχεια.] Εὔγειος, ἢ εὐκαρπος, λαχαίνοις καὶ σπαρτοῖς δυναμένη· οἰκονομικῶς δὲ εἰς τοῦτο τὸν νοῦν κατενέχθησαν, ἵνα μὴ λοιδόρων πάντες. Παρὲξ λιμένος.] Ἔξω δὲ λιμένος. Τελέουσα.] Ἐκτείνεται, διήκει.

ΝΟΤΑ.

108. Ἀρόωσιν) Hic *Grammatici* cæspitant, & *Eustath.* fol. 340. lin. 27. Τὸ δὲ ἀρόωσιν, ἔοικε διὰ τὸ ἐν συζυγίᾳ τῷ φυτεύουσιν· ἢ δ' ἂν καθαρῶς τελῇ, εἴπερ ἐγκρίνοι ἀρόωσι, vix satis attentè; quandoquidem Poetæ *Tertiam* Conjugationem *Contractorum* nonnunquam, ut *Secundam* formant, & *Secundam* haud rarò, ut *Tertiam*. Quævis item Verba Contracta, cujuscumque Conjugationis, si ε' præferant πρὸ — ῶσι, per ωσι Poetæ efferunt, Κομέω, pro κομάω, & proinde κομέωσι; nam à quolibet Verbo, in ω, faciunt ωσιν, ut hoc in loco ἀρόωσιν. Quam Lectionem, præter *Eustathium*, confirmat *Hesychius*, Ἀρόωσις) Ἀροτριῶσις. Corrige & lege, Ἀρόωσιν) Ἀροτριῶσιν. Ipsa *Brevium Scholiorum* verba. Sic φυτεύουσας, pro φυτεύσας, *Homerus*, & φυτεύωμεν, pro φυτεύσωμεν, *Greg. Nazianz.*

111. Ἄσπαρτα) Τὸ δὲ, ἄσπαρτα ἑαυτῶν τῇ λήξει, inquit *Eustath.* fol. 340. lin. 28.

116. Νῆσος ἔπειτα λάχεια) Puto legi debere, Νῆσος ἔπειτ' ἐλάχεια. *Eustath.* fol. 341. lin. 25. Τινὲς μέν τι τὸ λάχεια, ὄνομα τῆς νήσου ὑπολαμβάνουσι, ὡς γνωσθὲν ἀφὸ Κίρκης τῆς Ὀδυσσεῖ εἰς ἐρωτήσεως· ἕτεροι δὲ λάχειαν, τὴν εὔγειαν φασὶ καὶ ἐπιτηδείαν λαχαίνοις καὶ σπείρουσι· ὅθεν καὶ τὸ λάχανον· καὶ δὲ μὴ τοῦτο ἡ λέξις. Ἀπό τε λάχεια· εἰ δὲ γράφοι τις τετραυμένως, ἐλάχεια. εἴη δ' ἂν ἀπὸ τῆς λιγύς, λίγεια, ὅπερ καὶ ἐλαχύς.

NOTÆ IN SCHOLIA.

106. *Ἀθεμίστων) Hæc addo, ex *Aloysii* MSto.

VARIÆ LECTIONES.

114. Παίδων ἠδ' ἀλόχων) κ. παίδων ἠδ' ἀλόχοις, *Aristot.* Moral. l. x. & alii, non malè; ut θεμιστεύῃ, &c. alias tamen, id. *Aristot.* ἀλόχων.

116. Νῆσος ἔπειτ' ἐλάχεια) κ. νῆσος ἔπειθε λάχεια, vid. Not. in *Textum*.

Γαίης

Γαίης Κυκλώπων, ὕπι σχεδὸν, ὑτ' ἀπόπλῳ,
Ὑλήεσσ'· ἐν δ' αἶγες ἀπειρέσιαι γεγάασιν
Ἄγριαι· ἣ μὲν γὰρ πάτος ἀνθρώπων ἀπερύκει·
Οὐδέ μιν εἰσοιχνεῦσι κυνηγέται, οἵτε καθ' ὕλην
Ἄλγεα πάσχουσιν, κεφυρὰς ὀρέων ἐφέποντες.
Οὔτ' ἄρα ποίμνησιν κατοίκηται, ὑτ' ἀρότοισιν,
Ἀλλ' ἦγ' ἄσπαρτος καὶ ἀνήροτος ἤματα πάντα,
Ἀνδρῶν χηθεύει, βόσκει δέ τε μηκάδας αἶγας.
Οὐ γὰρ Κυκλώπεσσι νέες πάρα μιλτοπάρῃοι,
Οὐδ' ἄνδρες νηῶν ἔτι τέκτονες, οἵ κε κάμοιεν
Νῆας ἐϋσταμύους, αἵ κεν τελέοιεν ἕκαστα,
Ἄστε' ἐπ' ἀνθρώπων ἰκνεύμεναι· οἷά τε πολλὰ
Ἄνδρες ἐπ' ἀλλήλους νηυσὶν περόωσι θάλασσαν,
Οἵ κέ σφιν καὶ νῆσον ἐϋκτιμένην ἐκάμοιεν.
Οὐ μὲν γάρ κε κακὴ γε, φέροι δέ κεν ὄμια πάντα·
Ἐν μὲν γὰρ λειμῶνες ἁλὸς πολιοῖο παρ' ὄχθας
Ὑδρηλοί, μαλακοί· μάλα κ' ἄφθιτοι ἄμπελοι εἶεν.

" Terræ Cyclopum, non propè, neque remota,
" Sylvosa; in eâ verò capræ infinitæ nascuntur
" Sylvestres; neque enim frequentatio hominum prohibet:
" Neque ipsam investigant venatores, qui per sylvam
" Dolores patiuntur, juga montium lustrantes.
" Nequecertè grezibus occupatur, neque arationibus,
" Sed ipsa inseminata & inarata diebus omnibus
" Viris caret; pascit verò balantes capras.
" Non enim Cyclopibus naves adsunt milto-pictæ,
" Neque viri præsto navium fabri, qui conficiant
" Naves transiratas, quæ utique perficerent singula,
" Ad urbes hominum euntes; veluti crebrò
" Viri ad se invicem mare transmittunt navibus,
" Qui utique ipsis & insulam bene-habitatam colerent.
" Nequaquam enim contemnenda; tulerit utique tempestiva omnia.
" Insunt enim prata maris cani ad littus
" Irrigua, mollia; inprimis enim perennes vites essent.

ΣΧΟΛΙΑ.

118. Ἀπειρέσιαι.] Πολλαί.
119. Πάτος.] Ἀναστροφή. Ἀπερύκει.] Ἀπείργει. καλύπτει.
120. Εἰσοιχνεῦσιν.] Εἰσπορεύονται, εἰσέρχονται.
121. Ἐφέποντες.] Ἐπιζητοῦντες.
122. Κατοίκηται)) Κατέχεται. * Ἀρότοισιν.] Ἀροτευόμενοι.
123. Ἀνήροτος.] Μὴ ἀροτευόμενος.
124. Χηθεύει.] * Σπανίζει. ἔρημος ἐστι. Μηκάδας.] Μηκωμένας, λέγει τὴν φωνήν. Μηκὴ γὰρ λέγεται ἡ τῶν αἰγῶν φωνή· ἢ λέγει δὲ ἐπὶ τὸ μέγεθος λέγων, * ὅ ἐστι πολυούσας.
125. Μιλτοπάρῃοι.] Μίλτῳ τὰς πρῳρὰς κεχρισμένας, τουτέστι τὰς πρώρας. Μίλτος ἡ, πηλὸς βαφικός.
126. Ἔνι.] Ἔνεισιν. Κάμοιεν.] Κατασκευάσειεν.
127. Τελέοιεν.] Περάτοιεν, ἐπεργάζοιεν.
128. Ἰκνεύμεναι.] Παραγινόμεναι.
130. Ἐκάμοιεν.] Κατεργάσαιντο, κατασκευάσαιντο.
131. Ὄμια.] Τὰ σπόρῳ ἅπασιν καιρὸν ἐπιτήδεια· * τὰ καθ' ὡραῖον καιρὸν ὄντα.
133. Ὑδρηλοί.] Καθυγροί. Μαλακοί.] Ἁπαλοί. Ἄφθιτοι.] Ἄφθαρτοι.

NOTÆ.

ἰλάχεια, ἰλαχίη. Auctor *Etymolog.* M. v. λαχαίνειν, adeundus, qui λάχεια vult legi, & πάτος, pro παρὶξ, scribit, per errorem. *Hesychius*, Ἐλάχεια, (ita lego pro ἰλαχία) μικρά· ἢ βαθύγειος, καὶ εὔγειος. Ubi ut ex priori interpretatione μικρά, *Lectionem* τῆς ἰλάχεια agnoscit, ità ex posteriori, λάχεια quoque. Quare Vetus error reputandus; licet rursus occurrat, *viz.* ν'. v. 509. Ἔνθ' ἀκτή τι λάχεια, & *Apollin.* Hymn. v. 197. Τῇσι δὲ νῆ' ἐπὶ κοίρη μετεμμεμάυῖα, ἔπι λάχεια. Ad priorem locum, *Scholia*, Λάχεια) ἰλαχίη. Ex altero loco sole clarius patet, ἰλάχεια legi oportere, κοίρη enim & ἰλάχεια, τὰ, μεγάλα καὶ νῖδες ἀγυιαὶ, opponitur, ubi λάχεια, à λαχαίνω, locum nullum habet. Vid. *Kusteri Suidam*, v. Λάχεια.

126. Οἵ κε κάμοιεν) Vid. ad *Var. Lect.*

NOTÆ IN SCHOLIA.

122. * Ἀρότοισιν) Ità pro ἀρότευσιν, cum ἄροσις, fit ἄρωσις, vel ἀροτείωσις. Hæc in *Schol.* v. 123. olim posita, ad suum locum nunc restituo.

124. * Σπανίζει) *Aloys.* MS. legit σπανίζει· * quod additur in fine, ex eodem MSto.

131. * Τὰ καθ' ὡραῖον καιρὸν ὄντα, ex MS. *Aloys.*

VARIÆ LECTIONES.

126. Οἵ κε κάμοιεν) γρ. οἵ κε κακάμοιεν, vid. in *Textum*, ad *Iliad.* ν'. v. 5.

133. Μάλα κ') γρ. μαλ' ἀν, *Eustath.* fol. 341. lin. 17.

Ἐν δ' ἄρστις λείη· μάλα κὲν βαθὺ λήϊον αἶαν
Εἰς ὥρας ἀμῆσαι· ἐπεὶ μάλα πῖαρ ὕπ' ὕδατος.
Ἐν δὲ λιμὴν εὐορμος, ἵν' ὐ χρεὼ πείσματός ἐστιν,
Οὔτ' εὐνὰς βαλέειν, οὔτε πρυμνήσι' ἀνάψαι,
Ἀλλ' ἐπικέλσαντας μεῖναι χρόνον, εἰσόκε ναυτέων
Θυμὸς ἐποτρύνῃ, καὶ ἐπιπνεύσωσιν ἄηται.
Αὐτὰρ ἐπὶ κρατὸς λιμένος ῥέει ἀγλαὸν ὕδωρ,
Κρήνη ὑπὸ σπείους· περὶ δ' αἴγειροι πεφύασιν.
Ἔνθα κατεπλέομεν, καί τις θεὸς ἡγεμόνευε
Νύκτα δι' ἠφαίστου· οὐδὲ προϋφαίνετ' ἰδέσθαι.
Ἀὴρ γὰρ περὶ νηυσὶ βαθεῖ' ἦν, οὐδὲ σελήνη
Οὐρανόθεν προϋφαινε· κατείχετο γὰρ νεφέεσσιν.
Ἔνθ' οὔτις τὴν νῆσον ἐσέδρακεν ὀφθαλμοῖσιν·
Οὔτ' ἂρ κύματα μακρὰ κυλινδόμενα προτὶ χέρσον
Εἰσίδομεν, πρὶν νῆας ἐϋστέλμους ἐπικέλσαι.
Κελσάσῃσι δὲ νηυσὶ, καθείλομεν ἱστία πάντα·
Ἐκ δὲ καὶ αὐτοὶ βῆμεν ἐπὶ ῥηγμῖνι θαλάσσης,
Ἔνθα δ' ὑπεξείξαντες ἐμείναμεν ἠῶ δῖαν.
Ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος ἠώς,
Νῆσον θαυμάζοντες ἐδινεύμεθα κατὰ αὐτήν.
Ὦρσαν δὲ νύμφαι, κοῦραι Διὸς Αἰγιόχοιο,

" In ea quidem aratio facilis; valdè altam metiem semper
" Suo tempore meterent: quandoquidem vadè pingue solum subest.
" In eâ portus opportunus, ut non opus funibus sit,
" Neque anchoras ejicere, neque rudentes allgare,
" sed qui appulerint manere aliquamdiu, usquedum nautarum
" Animus voluerit & aspirârint venti.
" Cæterùm ad initium portûs fluit limpida aqua,
" Fons sub specu: circumque alni nascuntur.
" Huc appulimus, atque aliquis deus dux viæ fuit
" Noctem per obscuram: non enim antea apparebat, ut videretur,
" Caligo enim circa naves densa erat, neque luna
" E cœlo lucebat; obscurata enim erat nubibus.
" Hinc nullus insulam vidit oculis;
" Neque sanè fluctus immensos provolutos ad littus
" Vidimus, antequam naves bene-tabulatas applicâssemus.
" Appulsis autem navibus collegimus vela omnia;
" Ipsi etiam egressi sumus in littus maris,
" Inibique dormientes expectavimus auroram divinam.
" Quando igitur mane-genita apparuit rutes digitis aurora,
" Insulam admirantes, ambulavimus per eam,
" Excitârunt verò Nymphæ, filiæ Jovis Ægidam-habentis,

Σ Χ Ο Λ Ι Α.

134. Ἄροσις.] Ἀροτρίασις. Λείη.] Ὁμαλή. Λ ἴον.] Σιδήρου πεδίον.

135. Ἀμῆσαι.] Θερίζειν. Πῖαρ.] Λιπαρὲς, εὔγειον. Οὔδας.] Τὸ ἔδαφος.

136. Εὔορμος.] Εὐκατάλληλος. Πείσματος.] Ἀπογείου χοινίκος, ᾧ πρόσεστι ἡ ναῦς.

137. Εὐνὰς.] Ἀγκύρας. Ἀνάψαι.] Προσδῆσαι.

138. Ἐπικέλσαντας.] Ἐπικαλῶσι τῇ γῇ, ἐπιψαύσασι.

139. Ἐποτρύνῃ.] Παροξύνῃ, παρορμᾷ. Ἄηται.] Οἱ πνεῦμοι.

140. Κρατὸς λιμένος.] Τῆς ἀρχῆς τοῦ λιμένος.

N O T Æ.

136. Οὐ χρεὼ πείσματός ἐστιν) Hinc *Virgil.* Æn. l. 1. v. 172. —*hic fessas non vincula Naves Ulla tenent, unco non alligat Anchora morsu.* Vid. *Macrob.* de *Virgilii* Imitatione *Homeri.*

144. Ἠὼ δῖαν) Cùm olim ἠὼ in Omnibus Exemplaribus legeretur, *Henricus Stephanus,* ad *Erotiani* Lexicon *Hippocrat.* p. 14. ἠοῦ legendum probat; quod tamen in suâ Editione non vidit. Quare & in *Textum* ἠοῦ sumo. ἠὼ ad *Var. Lect.* rejicio; quùm & illa Vox cum *Dativo* ferri possit, at non satis commodè in hoc loco.

143. Προϋφαίνετ'.] Περιφαίνετο.

144. Ἀὴρ.] Ἀχλὺς, ὁμίχλη. Βαθεῖ'.] Σκοτεινή.

145. Προϋφαινε.] Ἔφαινε, ἔλαμπε.

146. Εἰσίδομεν.] Εἶδον, ἐθεασάμεθα.

147. Προτὶ χέρσον.] Πρὸς τὴν γῆν.

149. Κελσάσῃσι.] Ἐπικελάσασι τῇ γῇ.

151. Ἀποθείξαντες.] Ἐπὶ βορρᾶ τὴν στυφὴν λατομηθέντες.

153. Θαυμάζοντες.] Θεώμενοι. Ἐδινεύμεθα.] Περιηρχόμεθα, ἀνεστρεφόμεθα.

154. Ὦρσαν.] Διήγειραν.

V A R I Æ L E C T I O N E S.

134. Μάλα κὲν) μ. πάλα κὲν. *Eustath.* ib. lin. 18.

144. Παρὰ) μ. περὶ. vid. Not. in *Textum.*

145. Γαῖ') γε. ἦ. *H. Steph.*

147. Περὶ) γε. ποτὶ, non æquè benè.

Αἶγας

Αἶγας ὀρεσκῴους, ἵνα δαπτήσειαν ἑταίρους.
Αὐτίκα καμπύλα τόξα καὶ αἰγανέας δολιχεγχέας
Εἱλόμεθ' ἐκ νηῶν· ἁθρόοι δ' ἄρα τείχεα κοσμηθέντες
Βάλλομεν· αἶψα δ' ἔδωκε θεὸς μυσαλέα θήρεα.
Νῆές μοὶ μὲν ἕποντο δυώδεκα, ἐς δ' ἑκάστην
Ἐννέα λάγχανον αἶγες· ἐμοὶ δ' ἐκ δέκ' ἔξελον οἶοι.
Ὡς τότε μὲν πρόπαν ἦμαρ, ἐς ἠέλιον καταδύντα,
Ἥμεθα δαινύμενοι κρέα τ' ἄσπετα, καὶ μέθυ ἡδύ.
Οὐ γάρ πω νηῶν ἐξέφθιτο οἶνος ἐρυθρός,
Ἀλλ' ἔτι πολλὸν γὰρ ἐν ἀμφιφορεῦσιν ἕκαστοι
Ἠφύσαμεν, Κικόνων ἱερὸν πτολίεθρον ἐλόντες.
Κυκλώπων δ' ἐς γαῖαν ἐλεύσσομεν, ἐγγὺς ἐόντων,
Καπνόν τ', αὐτῶν τε φθογγὴν, οἰῶν τε, καὶ αἰγῶν.
Ἦμος δ' ἠέλιος κατέδυ, καὶ ἐπὶ κνέφας ἦλθε,
Δὴ τότε κοιμήθημεν ἐπὶ ῥηγμῖνι θαλάσσης.
Ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος ἠώς,
Καὶ τότ' ἐγὼν ἀγορὴν θέμενος, μετὰ πᾶσιν ἔειπον,
Ἄλλοι μὲν νῦν μίμνετ', ἐμοὶ ἑρίηρες ἑταῖροι·
Αὐτὰρ ἐγὼ σὺν νηΐ τ' ἐμῇ καὶ ἐμοῖς ἑτάροισιν
Ἐλθὼν, τῶνδ' ἀνδρῶν πειρήσομαι, οἵ τινές εἰσιν,
Ἦ ῥ' οἵγ' ὑβρισταί τε, καὶ ἄγριοι, οὐδὲ δίκαιοι·
Ἠὲ φιλόξεινοι, καί σφιν νόος ἐστὶ θεουδής.
Ὡς εἰπὼν, ἀνὰ νῆα βεβὼς ἐκέλευσα δ' ἑταίρους,
Λύτους τ' ἀμβαίνειν, ἀνά τε πρυμνήσια λῦσαι.

" Capras montanas, ut prandium sumerent socii.
" Continuò incurvos arcus, & hastas longo-ferro
" Cepimus ex navibus; & in tres partes instruxi
" Jam adsumus: fatimque dedit deus desertam venationem:
" Naves quidem me sequebantur duodecim, in unamquamque autem
" Novem sortito tulerunt capras, & mihi decem elegerunt soli.
" Sic tùm toto die ad solem occidentem
" Sedebamus, convivantes carnes multas, & vinum dulce.
" Non enim ex navibus absumptum erat vinum rubrum,
" Sed supperebat; multum enim in amphoris singulis
" Hausimus, Ciconum sacrum oppidum depopulati.
" Cyclopum autem versus terram prospiciebamus, prope degentium,
" Fumumque, ipsorumque murmur, ovium, & caprarum.
" Quando autem sol occidit, & crepusculum advenit,
" Tum dormivimus in littore maris:
" At quando manè-genita apparuit roseis-digitis aurora,
" Et tum ego concione habitâ ad omnes loquutus sum,
" Alii quidem nunc manete mihi, dilecti socii;
" Cæterùm ego cum navi meâ & cum sociis meis
" Transmittens, hos homines explorabo, quinam sint,
" An illi contumeliosi & agrestes, neque justi,
" An hospitales, & ipsis mens sit pia.
" Sic fatus navem conscendi; jussi verò socios
" Ipsosque conscendere, & rudentes solvere;

Σ Χ Ο Λ Ι Α.

155. Ὀρεσκῴους.] Τὰς ἐν ὄρει διατρεφομένας. 156. Καμπύλα.] Ἐπικαμπῆ. Αἰγανέας δολιχεγχέας.] Ἀκόντια ἐπιμήκεις τὰς αὐλὰς ἔχοντα, ὅ ἐστι, τὸ σίδηρον. 157. Εἱλόμεθα.] Ἐλάβομεν. 158. Μυσαλέα.] Τῷ μὴ ἁρμόζοντα. 160. Ἔξελον.] Ἐξαίρετον ἔδωκαν. 161. Πρόπαν ἦμαρ.] Διὰ ὅλης τῆς ἡμέρας. Ἠέλιον καταδύντα.] Περὶ δύσιν ἡλίου. 162. Ἄσπετα.] Πολλά. Μέθυ.] Οἶνον. 163. Ἐξέφθιτο.] Ἐξελιπαίνετο, ἀνάλωτο. 164. Ἀλλ' εἰσὶν.] Ἀλλ' εἰσὶ. Ἀμφιφορεῦσιν.] Ἀγγείοις διώτοις. 165. Ἠφύσαμεν.] Ἠντλήσαμεν. 166. Ἐλεύσσομεν.] Ἐβλέπομεν, ἐωρῶμεν, ἐθεώμεθα. 169. Ῥηγμῖνι.] Τῷ αἰγιαλῷ. 171. Θέμενος.] Ποιησάμενος. 176. Φιλόξεινοι.] Φιλόξενοι.

N O T Æ.

160. Ἔννέα λάγχανον αἶγες) Si vera *Lectio*, quod valdè dubito, licet Omnia omninò Exemplaria αἶγας legant, tum λάγχανον, hic *Passivè*, pro ἐκληροῦντο, ut *Eustath.* fol. 342. lin. 42. Credo tamen legendum αἶγας, ut sit, ἐς ἑκάστην οἱ ἑταῖροι ἐλάγχανον ἐννέα αἶγας, οἱ δὲ ἐμοὶ μόνῳ ἐλαχον ἔξελον. At quùm infrà, v. 334. ἔλαχον, occurrat, pro *forte-electi erant*, nihil muto; nisi in *Versione* tantùm.

Variæ Lectiones.

160. Αἶγας) al. αἶγες, vid. Not. in *Textum*. 172. Μίμνετ' ἐμοὶ) al. μίμνετέ μοι. *H. Steph.*

Οἵγ'

Οἵδ' αἶψ' εἴσβαινον, καὶ ἐπὶ κληῖσι κάθιζον·
Ἑξῆς δ' ἑζόμενοι πολιὴν ἅλα τύπτον ἐρετμοῖς.
Ἀλλ' ὅτε δὴ τ' χῶρον ἀφικόμεθ', ἐγγὺς ἐόντα,
Ἔνθάδ' ἐπ' ἐσχατιῇ σπέος εἴδομεν, ἄγχι θαλάσσης,
Ὑψηλὸν, δάφνῃσι κατηρεφές· ἔνθάδε πολλὰ
Μῆλ', ὄϊές τε, καὶ αἶγες ἰαύεσκον· περὶ δ' αὐλὴ
Ὑψηλὴ δέδμητο κατηρυχέεσσι λίθοισι,
Μακρῇσίν τε πίτυσσιν, ἰδὲ δρυσὶν ὑψικόμοισιν.
Ἔνθάδ' ἀνὴρ οἰάυε πελώριος, ὅς ῥά τε μῆλα
Οἶος ποιμαίνεσκεν ἀπόπροθεν· οὐδὲ μετ' ἄλλους
Πωλεῖτ', ἀλλ' ἀπάνευθεν ἐὼν ἀθεμίστια ᾔδη.
Καὶ γὰρ θαῦμ' ἐτέτυκτο πελώριον· οὐδὲ ἐῴκει
Ἀνδρὶ γε σιτοφάγῳ, ἀλλὰ ῥίῳ ὑλήεντι
Ὑψηλῶν ὀρέων, ὅτε φαίνετ' οἶον ἀπ' ἄλλων.
Δὴ τότε τοὺς ἄλλους κελόμην ἑτάρους ἐρίηρας
Αὐτοῦ πὰρ νηῒ τε μένειν, καὶ νῆα ἔρυσθαι·
Αὐτὰρ ἐγὼ κείνας ἑτάρων δυοκαίδεκ' ἀρίστους
Βῆν· ἀτὰρ αἴγειον ἀσκὸν ἔχον μέλανος οἴνοιο,
Ἡδέος, ὅν μοι ἔδωκε Μάρων, Εὐάνθεος υἱὸς,

" Illi continuò conscenderunt, & per transtra sederunt;
" Ordine autem sedentes, canum mare verberabant remis.
" Sed cùm jam in locum pervenimus propinquum,
" Hic in extremâ parte speluncam vidimus propè mare
" Excelsam, lauris densam; ubi multa
" Pecora, oviesque & capræ quiescebant: juxtaque aula
" Excelsa ædificata erat excisis lapidibus,
" Longisque pinis, & quercubus alticomis.
" Hic vir habitabat ingens, qui certè pecora
" Solus pascebat longè, neque cum aliis
" Versabatur; sed seorsum existens intanda sciebat.
" Etenim monstrum erat horrendum, neque simile
" Homini frumentivoro, sed cacumini sylvoso
" Excelsorum montium, quando apparet solum ab aliis.
" Tum alios jussi dilectos socios
" Illic apud navemque manere, & navem custodire;
" Ipse verò eligens sociorum duodecim optimos
" Ibam; caterum caprinum utrem habebam nigri vini
" Suavis, quod mihi dedit Maron, Euanthei filius,

Σ Χ Ο Λ Ι Α.

180. Πολιὴν.] Λευκὴν.
182. Ἔπ' ἰσχατιῇ.] Ἐπὶ τῇ ἐσχάτῃ καὶ πλουσίᾳ μέρει.
183. Κατηρεφὲς.] * Κατασκιασμένον.
184. Μῆλ', ὄϊές τε, καὶ αἶγες.] Περιττῶς τὸ γένος, ἐπένευκε τὸ εἴδος. Ἰαύεσκον.] Διενυκτέρευον, ἐκάθευδον.
185. Δέδμητο.] Ἐδιδέμητο, ἐνεδέμητο. Κατωρυχέεσσι.] Τοῖς ἐν τῇ γῇ εἰσωρυσσόμενος, ὅ ἐστι πεφυτευμένοις.
186. Ὑψικόμοισιν.] Ἐν ὕψει κομώσαις.
187. Εἰάνει.] Διετέλειν· ἢ, ἐκάθευδεν.
189. Πωλεῖτ'.] Ἀντιστρόφως. Ἀπὸ μέρους.] Ἄδικα.
191. Ῥίῳ.] Λειροτελεῖ, ὄρει ἐξοχῇ.
194. Ἔρυσθαι.] Φυλάττειν.
197. Μάρων.] Εὐάνθης υἱός. Εὐάνθης ἦ, Διονύσε.

N O T Æ.

184. Μῆλ', ὄϊές τε, ἠδ' αἶγες.) Vid. ad β'. v. 75. & infrà ad v. 237.

187. Ἔνθάδ' ἀνὴρ οἰάνεν πελώριος.) Rectè in *Siciliâ* ponit *Gigantes*; nam & *Thomas Fazellus* Histor. *Sicil.* Decad. 1. l. 2. c. 1. se vidisse, ait, inibi in Domo suâ Humana Corpora, quorum *Dentes* quatuor, vel quinque Uncias penderent; *Statura* autem ad 18. 20. 22. & 25. aliquando Cubitus assurgeret. Vid. *Camerarii* Histor. Meditat. l. 5. c. 3.

191. Ἀνδρὶ γε σιτοφάγῳ.) Σιτοφάγῳ· ἀντὶ, ἀντὶ δὲ, ἥμερῳ, ὡς Ἡσίοδος.—Οὐδ' ἔπι σῖτον Ἔθειραν, ἀλλ'

NOTÆ IN SCHOLIA.

183. * Κατεσκιασμένον.) Ità pro κατεσκιασμένον, ex *Eustathio*, repono. Hoc vidit *Meric. Casaubon.* De nuperâ *Homeri* Edit. p. 58. Eundem cum Impressis errorem errat MS. ut sæpe aliàs.

VARIÆ LECTIONES.

181. Εἰσβαίνετε.) κ. ἐβαίνετε. *H. Steph.*
182. Ἑξῆς δ') κ. εὐθὺς δ', *H. Steph.*

Ἰσεὺς

Ἰρὶς Ἀπόλλωνος, ὃς Ἴσμαρον ἀμφιβεβήκει,
Οὔτηκά μιν σὺν παισὶ φεριχόμεθ', ἠδὲ γυναικί,
Αἰδόμενοι· ᾤκει γὰρ ἐν ἄλσεϊ δενδρήεντι
Φοίβου Ἀπόλλωνος· ὁ δέ μοι πόρεν ἀγλαὰ δῶρα·
Χρυσοῦ μέν μοι δῶκε εὐεργέος ἑπτὰ τάλαντα·
Δῶκε δέ μοι κρητῆρα παπάργυρον· αὐτὰρ ἔπειτα
Οἶνον ἐν ἀμφιφορεῦσι δυώδεκα πᾶσιν ἀφύσας,
Ἡδύν, ἀκηράσιον, θεῖον ποτόν· οὐδέ τις αὐτὸν
Ἤιδη δμώων, οὐδ' ἀμφιπόλων ἐνὶ οἴκῳ,
Αὐτὸς τ', ἄλοχός τε φίλη, ταμίη τὲ μί' οἴη.
Τόνδ' ὅτε πίνοιεν μελιηδέα οἶνον ἐρυθρὸν,
Ἓν δέπας ἐμπλήσας, ὕδατι δ' ἀνὰ εἴκοσι μέτρα
Χεῦ· ὀδμὴ δ' ἡδεῖα ἀπὸ κρητῆρος ὀδώδει,
Θεσπεσίη· τότ' ἂν οὔτοι ἀποσχέσθαι φίλον ἦεν.
Τῷ φέρον ἐμπλήσας ἀσκὸν μέγαν, ἐν δ' ἄρα κἠία
Κωρύκῳ· αὐτίκα γάρ μοι ὀΐσατο θυμὸς ἀγλαὸς,
Ἀνδρ' ἐπελθόντα μεγάλῳ ἔπειμβον ἀλκῇ,
Ἄγριον, οὔτε δίκας εὖ εἰδότα, οὔτε θέμιστας.
Καρπαλίμως δ' εἰς ἄντρον ἀφικόμεθ', οὐδέ μιν ἔνδον
Εὕρομεν, ἀλλ' ἐνόμευε νομὸν κάτα πίονα μῆλα·

" Sacerdos Apollinis, qui Ismarum incolebat;
" Quòd ipsum cum liberis defendimus atque uxore,
" Reverentiâ moti: habitabat enim in luco arborifero
" Phœbi Apollinis: ille mihi dederat pulchra dona;
" Auri quidem mihi dedit elaborati septem talenta;
" Deditque mihi craterem totum argenteum: cæterum posea
" Vinum in amphoris duodecim ipsis haustum,
" Suave, impermixtum, divinum potum; neque quisquam illud
" Noverat famulorum, neque famularum in domo,
" Sed ipse, uxorque chara, promaque una sola.
" Hoc quoties biberent dulce vinum rubrum,
" Uno poculo impleto, aquæ viginti mensuras
" Immiscuit: dulcis tamen odor ab cratere spirabat
" Divinus; tum non tibi abstinere gratum fuisset.
" Hujus ferebam implerum utrem magnum; viatica quoque
" In perâ: statim enim mihi expectabat animus generosus,
" Virum adfuturum ingenti præditum fortitudine,
" Agrestem, neque jura benè doctum, neque leges.
" Celeriter autem in antrum venimus, neque ipsum intus
" Invenimus; sed pascebat per pascua pinguia pecora.

ΣΧΟΛΙΑ.

198. Ἀμφιβεβήκει.] Κατῄρχει, ἐφύλαττεν.
199. Περιχόμεθα.] Περιεσώσαμεν, ἐφυλάξαμεν.
200. Ἄζομαι.] Σέβομαι, εὐτρεπίζομαι. Ἄλσει.] Ὑδρηλῷ καὶ πολὺ ἔχοντι τὸ πῦρ.
204. Ἀφύσας.] Ἀντλήσας.
205. Ἀκηράσιον.] Καλὸν, καὶ ἀδιάφθαρτον, ἢ ἀκέραιον.
206. Δμώων.] Οἰκετῶν, δούλων.
208. Ἐρυθρόν.] Πυῤῥόν.
209. Ὕδατι ἀνὰ εἴκοσι.] Προσφκειόμενον, ἵνα μὴ ζητῶμεν, πῶς ὁ τοσοῦτος ἐκρείθη.
211. Ἀποσχέσθαι.] Ἀπεσχῆναι.
212. Ἥδη.] Ἀλφίζα.
213. Κωρύκῳ.] Θυλάκῳ.
214. Ἐπιλόσασθαι.] Ἐπλήσθη. Ἐπειμβόν.] Περιεβεβλημένον.
216. Ἄντρον.] Τὸ σπήλαιον.
217. Ἐνόμευεν.] Ἔνεμεν. Νομὸν κάτα.] Εἰς τὸν καθ' ἑαυτὸν.

NOTÆ.

199. Παπτ.) *Eustath.* fol. 347. lin. 48. Τὸ ἦ, σὺν παισὶ περιχόμεθα. Ἀείσαρχον, σὺν παισί.

208. Τόνδ' ὅτε πίνοιεν) *Plinius.* Nat. Hist. l. 14. c. 4. *Maronenum* Vinum vicies tanto addito Aquæ miscendum *Homerus* prodidit. Durat etiamnum vis in terrâ huic Generi, vigorque indomitus: Quippe cum *Mucianus* ter Consul, ex his qui nuperrime prodidere, Sextarios singulos octonis Aquæ misceri compererit, præses in eo tractu. De Vino hoc, videtis *Marsilii Cognati* l. 3. c. 13. Quis ille *Maron*, unde Nomen hoc manavit, diximus ad *Euripid.* Cyclop. v. 141.

212. Ἓν ἦ κῳ ἄλσει) In *Scansione* legendum, quasi ἥα scriberetur; de quâ re, ad β'. v. 346. & ε'. v. 368.

NOTÆ IN SCHOLIA.

217. * Κατανομεύω) Pro corrupto, κατανέμω.

VARIÆ LECTIONES.

198. Ἰρὶς) κ. ἰρεὺς. *Æolicè*, *Eustath.* & ἱερεὺς, *Anapæst.* pro *Spondæo.*

199. Παπτ.) κ. πασὶ, vid. Not. in *Textum.*

Ἐλθόν-

Ἐλθόντες δ' εἰς ἄντρον ἐθηεύμεθα ἕκαστα·
Ταρσοὶ μὲν τυρῶν ῥεῖθρα, πίνακες δ' σηκοί
Ἀρνῶν ἠδ' ἐρίφων· ἀφαρκιδιμέναι δ' ἕκασται
Ἔρχαλο· χωρὶς μὲν πρόγονοι, χωρὶς δὲ μέσσαι,
Χωρὶς δ' αὖτ' ἔρσαι· νᾶες δ' ἐγὼ ἄγγεα πάντα,
Γαυλοί τε, σκαφίδες τὲ, τετυγμένα, πῖς ὀράμελγεν.
Ἔνθ' ἐμὲ μὲν πρώπαν' ἔπεροι λίαντο ἑπέεσσι,
Τυρῶν αἰνυμένους ἱέναι πάλιν· αὐτὰρ ἔπειτα
Καρπαλίμως ἐπὶ νῆα θοὴν ἐρίφους τὲ καὶ ἄρνας
Σηκῶν ἐξελάσαντας ἐπιπλεῖν ἁλμυρὸν ὕδωρ·
Ἀλλ' ἐγὼ οὐ πιθόμην, ἦτ' ἂν πολὺ κέρδιον ἦεν,
Ὄφρ' αὐτόν τε ἴδοιμι, καὶ εἴ μοι ξείνια δοίη·
Οὐδ' ἄρ' ἔμελλ' ἑτάροισι φανεὶς ἐρατεινὸς ἔσεσθαι.
Ἔνθάδε πῦρ κείαντες ἐμείναμεν· ἂδὲ καὶ αὐτοὶ

" Venientes igitur in antrum perlustrabamus singula:
" Vasa quidem caseis onerabantur, repleta erant stabula
" Agnorum atque hædorum; separatæ vero singulæ *pecudes*
" Inclusæ erant; separatim quidem matutiores, seorsim juniores,
" Separatim recenter-natæ; natabantque fero vasa omnia,
" Mulctraliaque, scaphæque, accommodata; quibus immulgebat.
" Tum me præcipuè socii precabantur verbis,
" Ut sumptis caseorum *nonnullis* reducemus; exterum deinde
" Celeriter ad navem celsam hædosque & agnos
" Ex stabulis agentes navigaremus salsam aquam.
" Verum ego non parui, certè multo satius fuisset,
" Donec ipsum viderem, & fors mihi hospitalia daret:
" Neque sane futurus erat sociis visus amabilis.
" Ibi ignem accendentes mansimus, & ipsi

Σ Χ Ο Λ Ι Α.

218. Ἐθηεύμεθα.] Ἐθαυμάζομεν.

Tùm nihilominus me allocutus fuisset, *licet* iratus, aut cessem ego hunc,
Sed mihi mallet animus in præcordiis meis
Aliorum animas videre defunctorum.
Ibi rum Minoa vidi, Jovis glorioſum filium,
Aureum sceptrum gestantem, leges ferentem mortuis,
Sedentem; alii verò circa ipsum causas dicebant regem,
Sedentes, stantesque, per latam Plutonis domum.
Post hunc, Orionem ingentem animadverti
Feras simul venantem per floridum pratum;

Σ Χ Ο Λ Ι Α.

553. Λάστας.] Ἐπιλαθίας.
554. Οὐλομένων.] Ὀλεθείων.
555. Πύργος.] Τεῖχος.
557. Ἀχνύμεθα.] Λυπούμεθα.
561. Δάμασον δὲ μένος.] Τῷ θυμῷ δὲ τὸ ὀργῆς κράτησον.
568. Θεμιστεύοντα.] Διαιτῶντα.
570. Εὐρυπυλές.] Πλατύπυλα πύλας ἔχει.
571. Εἰσενόησα.] Εἶδον, ἐθεασάμην.
572. Εἰλεῦντας.] Σωρεύοντας.

Ν Ο Τ Æ.

564. Ἔνθα μ' ὁμῶς προσέφη) *Eustath.* fol. 455. lin. 1. Ἤγουν, τότε δὴ ἀπ' ἐπίπονα, ἵνα ὁ Αἴας καίτοι κεχολωμένος, προσέφη ἂν ἐμοὶ, καθὰ ἐγὼ αὐτόν· ἀλλά μοι, κλ. Post ἔνθα itaque, pro otiolo χ', μ' pono, pro μοὶ, quòd hoc postulet Necessitas, illud etiam mox in τὸ κεν includatur; Is enim Sensus loci, ἔνθα ὁ Αἴας ἐμοὶ προσέφη ὁμῶς χολούμενος, ἤ ἐγὼ αὐτὸν, vel ἢ ἐγὼ, ante ἤ, καθὰ, ut *Eustathius* modò.

568. Θεμιστεύοντα νέκυσσιν) Ità lego, pro νεκύεσσιν, cùm nulla sit συνιζήσεως necessitas. Et hæc *Lellio Straboni* placuit, l. 2. fol. 224. Hinc *Pindari*, θεμιστῆες σκᾶπτον, Olymp. §. 1.

Variæ Lectiones.

557. Φθιμένοιο) γρ. φθινόμενοι, *H. Steph.* ascitaticr.
561. Ἀχνύμεθα) χρ. ἀτειμία, *Plutarch.* Sympos. 9. 5. Vid. *Duport.* λ'. §. 16.
564. Μ') γρ. χ'. *Ib.* Ὁμῶς) χρ. ὅμως, *H. Steph.* *Ib.* Ἤ κεν) χρ. ἢ κεν, & ἤ κεν, vid. Not. in *Textum.*
568. Θεμιστεύοντα νέκυσσιν) χρ. θεμιστεύοντα νεκύεσσιν. vid. Not. in *Textum.*
572. Κατ' ἀσφοδελὸν) Vid. ad v. 538.

Τὸν

Τὺς αὐτὸς κατέπεφνεν ἐν εἰσπόλοισι ὄρεσσι,
Χερσὶν ἔχων ῥόπαλον παγχάλκεον, ἀιὲν ἀαγές.
Καὶ Τιτυὸν εἶδον, γαίης ἐριθρεπτὸν ἑοῖο,
Κείμενον ἐν δαπέδῳ· ὁ δ' ἐπ' ἐννέα κεῖτο πέλεθρα·
Γῦπε δέ μιν ἑκάτερθε παρημένω ἧπαρ ἔκειρον,
Δέρτρον ἔσω δύνοντες· ὁ δ' οὐκ ἀπαμύνετο χερσί·
Λητὼ γὰρ ἤλκησε, Διὸς κυδρὴν παράκοιτιν,
Πυθὼδ' ἐρχομένην, ἀφὶ καλλιχόρῳ Πανοπῆι.
Καὶ μὴν Τάνταλον εἰσεῖδον, χαλέπ' ἄλγε' ἔχοντα,

Quas ipſe occiderat in deſertis montibus,
Manibus habens clavam totam æneam, ſemper infractam.
Et Tityum vidi, terræ gloriosæ filium,
Proſtratum in ſolo; hic etenim per novem jacebat jugera:
Vultureſque ipſium utrinque aſſidentes jecur fodiebant,
Rostrum intromittentes; ille autem non abigebat manibus:
Latonam enim traxit per vim, Jovis inclytam uxorem,
Ad Pytho euntem, per amœnum Panopeum.
Et ſanè Tantalum vidi, graves dolores patientem.

ΣΧΟΛΙΑ.

573. Οἰοπόλοισιν.] Ἡ ἐρήμοις, ἐν οἷς ἐστι μόνοι πολῖται, ἢ ἐστιν ἀναστρέφεσθαι· ἢ ἡμέροις, ἐν οἷς μόνον ἂν τις περιέλθοι ἀφ' ἑνὸς ἄκρου, ἐν οἷς ἄλλοι ἀναστρέφονται, οἷον ὄπου νέμονται τὰ αὐτόβοα.

574. Παγχάλκεον.] Παγχαλκότην στιβηρωτῆρα. Ἀαγές.] Τὸ μηδέποτε κεκλασμένον, ἤγουν ἄθραυστον.

576. Πίλιθρα.] Πλίθρα, λέγε πλίθρα, ἅπερ ἐστὶν ἴσον μοίρᾳ σταδίου· λέγει δέ, ὅτι ὁ Τιτυοῦ τὸ σῶμα ἐπὶ ἐννέα ἔκειτο πλίθρα, ἅπερ κατέχει τόπον ἐνὸς· ἢ ἡμίσεος σταδίου· ἦν δὲ ὁ Τιτυὸς, Διὸς καὶ Ἐλάρας ἥρως· ὃν ὁ μὲν, μύθος τὶ γῆς.

577. Παρημένω.] Παρεστηκότε, δύο ἀετώ. Κεῖρον.] Ἔκειρον, κατέσθιον.

578. Δέρτρον.] Ἤτοι τὸν ὑπὸ τὸν σάρκα πιμελὸν, ὃν ἐπιθυμίας.

NOTÆ.

575. Καὶ Τιτυὸν εἶδον) De *Secundâ* ſede, vid. ad 549.

577. Γῦπε δέ μιν ἑκάτερθι) Τὸ μιν producitur, in *Caſurâ*, vi *Finalis*. & *Aſperi* ſequentis. *Jecur* autem, ſedem Libidinis, à Vulturibus laceratum meritò facit Poeta; quòd ex libidine peccaverit *Tityus*, ut *Heraclides Ponticus*, ἐν Ὁμήρου Ἀλληγορίαις, Ὥσπερ δὲ νομοθέται τὰς παιδοφθορίας χειροκοποῦσι, τὸ δυσσεβῆσαι αὐτῶν μίσους ἕνεκεν ἀπιστίους· οὕτως Ὅμηρος τὸ ἧπαρ κολάζει, τὸ δὲ ἧπαρ ἀσεβήσαν. *Euſtath.* fol. 456. lin. 44. Καλῶς δὲ φασιν, εἰς ἧπαρ κλωζειν, ὁ φαῦλος ἐπιθυμήσας Τιτυός· ὡς γὰρ καρδία,

576. Ἐννέα πλίθρα) Cum πλίθρον ſit *Sexta* pars ſtadii, & *Tityus* occupet Novem πλίθρα, ſequitur, Illum ſpatium occupare, non Unius Dimidii, ſed *Unius Stadii* & *Dimidii*; quare inter ἐννέα & ἡμίσεος, addendum erat τὸ καί.

578. Δέρτρον) *Heſychius*, *Euſtathius*, & *Scholiaſtes noſter*, τὸ δέρτρον exponunt, quaſi eſſet aliquid internum *Tityi* patientis; cum videatur potiùs, eſſe quid externum, agentium, nempè Vulturum, *Reſtrum*. Vid. *Etymologicum* M. & *Suidam*. In fine, pro ἀπαμύνετο) ἀπικώλυεν, ſcribo, Ἀπαμυνόντο)

579. Ἤλκησε.] Εἷλκεν, ἐδίωκεν. Κυδρὴν.] Ἔνδοξον.

580. Πυθώδ'.] Πόλις τῆς Φωκίδος. Καλλιχόρῳ.] Καλὰς τόπους ἐχούσης. Πανοπῆος.] Πανόπη, πόλις Φωκίδος.

581. Τάνταλον εἰσεῖδον χαλέπ' ἄλγε' ἔχοντα.] Τάνταλος, ὁ Διὸς καὶ Πλουτοῦς, συνδιαιτώμενος τοῖς θεοῖς καὶ συνεστιώμενος· αὐτοῖς ἀπόλαυσας ἐποιήσατο· κλέψας γὰρ τὸ νέκταρ καὶ τὴν ἀμβροσίαν, ἅπερ ἔξειν αὐτὸν, ἔδωκε τοῖς ἑταίροις· ἐφ' οἷς ἀχαριστήσασιν τὸν Δία ἐκβαλεῖν αὐτὸν τῆς ἑορτῆς δαίτης, καὶ ἐξαρτῆσαι ἐπ' ὄρους ὑψηλοῦ, ἐκδεδεμένον τὰ χεῖρε, καὶ τὴν Σίπυλον, ἔνθα ἐπικάθηται, ἀναστρέψας· ἡ ἱστορία παρὰ Ἀσκληπιάδῃ.

TÆ.

Θυρεὸν τε ἐΐσην· καὶ λοφωτὴν, κεφαλὴν ἅπτον καὶ ὦπας, ἐπιθυμίας.

578 Δέρτρον) *Etymolog.* M. Ἐν τῇ Ῥητορικῇ λέξεως εὗρον σημαίνειν τὸ ἐπίκλην, τὸν ὑπὸ τὸν σάρκα πιμελὸν· ἄλλοι δέ. ἢ τὸ ὑπὸ τὸ ἧπαρ ὑμένα, ἢ τὸν δεκτόν. Ἄλλοι δέ. τὸ ὑπὸ τὸ ἥπατος λεγόμενον ἔντερον. Ἀελιανός, τὸ δέρμα, ἐκ πολλῶν τὸ χρῶτα. τὸ δὲ ἧπαρ· ἄμεινον δὲ τὸ ἡμῶν, δέρτρον. Confer *Brevia Scholia*, p. v. 116.

579. Λητὼ γὰρ ἤλκησε) Vid. ad v. 577. de *Secundo* Pede.

NOTÆ IN SCHOLIA.

576. Ἐννέα πλίθρα) Cum πλίθρον ſit *Sexta* pars ſtadii, & *Tityus* occupet Novem πλίθρα, ſequitur, Illum ſpatium occupare, non Unius Dimidii, ſed *Unius Stadii* & *Dimidii*; quare inter ἐννέα & ἡμίσεος, addendum erat τὸ καί.

578. Δέρτρον) *Heſychius*, *Euſtathius*, & *Scholiaſtes noſter*, τὸ δέρτρον exponunt, quaſi eſſet aliquid internum *Tityi* patientis; cum videatur potiùs, eſſe quid externum, agentium, nempè Vulturum, *Reſtrum*. Vid. *Etymologicum* M. & *Suidam*. In fine, pro ἀπαμύνετο) ἀπικώλυεν, ſcribo, Ἀπαμυνόντο)

579. Ἤλκησε.] Hinc voremex *Aloyſii* MSto addo.

581. Συνεστιώμενος) Fà. pro συνεστιώμενος, vel συνεστιάμενος, etiam ἐμοὶ ἔξειν pro ἐμὲ ἔχειν· item ἐκπεσόντα, pro ἐκπεσόντος. pro quo ſtultè legebant nonnulli ἐξιόντα. ex *Aloyſii* MSto reſtituo & emendo. Hæc autem *Scholia* de *Tantalo* omnia confirmat *Tzetzes*, & ipſe quoque *Tantalum*, Chiliad. Theologic. §. 1. v. 95 Ἐχεῖ δ' ἀπόλαυσε βροτῶν ἀμπλάκιον, Μετὰ τελῶν τὸν ῥέα Ποσειδῶν' Ἀλλ' ἀναπτερώσας πλέψας Ἀλείαν συμποσίαν Νέκταρ, Ἀμβροσίαν τ' ἔδωκεν.

VARIÆ LECTIONES.

579. Ἤλκησε) κ. εἵλκυσε, *Heraclid. Pontic.* vid. *Daniel. Heinſii* Not. ad *Clem. Alexandr.* fol. 323.

Ἑσπότ' ἐν λίμνῃ· ἡ δ' ὑπερέπλαζε γενείῳ.
Σπεῦτο δ' ἐπιψάων, πιέειν δ' οὐκ εἶχεν ἐλέσθαι·
Ὁσσάκι γὰρ κύψειε γέρων, πιέειν μενεαίνων,
Τοσσάχ' ὕδωρ ἀπολέπτεσκεν ἀναδρομέων· ἀμφὶ δὲ ποσσὶ
Γαῖα μέλαινα φάνεσκε, καταζώννυσκε δὲ δαίμων.
Δένδρεα δ' ὑψιπέτηλα κατακρήθεν χέε καρπόν,
Ὄγχνας, ἠδὲ ῥοιάς, ἠδὲ μηλέας ἀγλαόκαρπους,
Συκάς τε γλυκερὰς, ἠδ' ἐλαίας τηλεθοώσας·
Τῶν ὁπότ' ἰθύσειε γέρων ἐπὶ χερσὶ μάσασθαι,

Stantem in lacu; hic autem alluebat ad mentum.
Videbatur verò sitiens, nec potuit obtinere, ut biberet:
Quoties enim inclinabat se senex, bibere cupiens,
Toties aqua penitus absorpta; circaque pedes
Terra nigra apparebat, arescereque faciebat numen.
Arbores quidem proceræ à capite fundebant fructum,
Pyri, mali puniceæ, & aliæ mali dulcem fructum ferentes,
Ficusque dulces, & olex virescentes:
De quibus quum rectà pergeret senex manibus decerpere,

ΣΧΟΛΙΑ.

582. Ἑστάτ' ἐν λίμνῃ.] Ἱστάμενον ἐν μέσῃ τῇ λίμνῃ. Περιεπίλαζε.] Περιέπλαζεν.

583. Σπεῦτο.] Ἴσως τοῦτο ἐπὶ τοῦ ποσοῦ· κέχρηται δὲ τῇ λέξει ὁ Διασκευαστὴς παρὰ τὸν Ποιητὴν σωιηθέως.

585. Ἀναλίσκεσθαι.] Ἀναίνεται. Ἀναβρυχᾶται.

586. Καταζώννυσκε.] Καταξήρανεν· ἄζη γάρ ἡ ξηρασία.

587. Καθυπέπτηλα.] Καθ' ὑπερβολήν. Χέε.] Ἔβαλλεν.

590. Μάσασθαι.] Ἐφάψασθαι.

NOTÆ.

582. Ἑστάτ' ἐν λίμνῃ) *Distichon*, quod hinc incipit, *Aristarchus* rejecit, ut *Pindarico* Scholiastæ fides; qui *Oxon.* Edit. fol. 8. §. 1. locum eundem ex *Homero* laudans, addit, Πλὴν εἰ μὴ τις ἀφεῖ Ἀρίσταρχον τόδε εἶναι τὸ ἔπη πεῦτο. Hoc *Lonicerus* etiam vidit: Nos hic notandum duximus, quia nec *Eustathius*, nec *Br. Schol.* de hoc *Aristarchi* Obelo cogitárunt.

584. Ὁσσάκι δ' κύψειε) Vid. infrà, ad v. 590.

585. Ἀναβρυχᾶται) Ità *Eustathius*, ubique; ità *Hesychius*, Ἀναβρυχᾶται) Ἀναπνεῖ, φυσᾷ. Ità *Isaac. Casaubonus*; ita *Scapula*, ita *Cantabrigiensis* Editio; è contra, ἀναβρυχᾶται legunt *Florentina*, *Aldina*, *Lovaniana Rescii*, *Hervagiana*, *Stephan. Castell. Lugdunens.* & *Oxoniensis*; quod nec ipsum Versui nocebit, licet περιχόρτερον paulò agnoscat, *Eustath.* fol. 458. lin. 44. Idem *Eustathius Lectionem* ἀναβρυχᾶται agnoscit, quamquam minimè præferat. Et ἀναβρύχειν, infrà, μ'. v. 240. priori *Lectioni* favet; quare hanc & illam inter *Var. Lect.* repono, *H. Stephani* παραφράζει.

588. Ὄγχνας, ἠδὲ ῥοιάς) Vid. ad *Var. Lect.* & ad π'. v. 115.

589. Συκάς τε γλυκερὰς) *Julianus* Imperator, Epistol. xxiv. fol. 390. Ὅμηρος ἢ ὁ σοφὸς, τὰ μὲν ἄλλα τῶν καρπῶν, ὡς μήγιστος, ἢ χερσὶν, ἢ καλλος ἐπαινεῖ· μόνην δὲ τὴν σύκην τὴν τε γλυκύτητος ἐπωνυμίαν συγχωρεῖ καὶ τὸ μαλακὸν καλεῖ. διὸ καὶ, μὴ λαθὼν γλυκὺ σφόδρα πάνυ, ὁ καὶ πικρὸν εἶναι πολλαχοῦ συμβαίνει· τῇ σύκῃ ἄρα δῶμεν ἀπολιδεῖν τὸν οἰκεῖον εὐφημισμὸν, ὥσπερ τῇ ῥίκῃ, δοὺς δὲ μόνον γλυκὺ τῶν ἄλλων ἅπαν. Huc refer *Judicum*, c. 9. v. 11. "At Fi- "cus dixit iis, Egone ut relinquam *Dulcedinem* "*mihi propriam*, & fructum meum utilem; & "præficiar Arboribus?

590. Τῶν ὁπότ' ἰθύσειε γέρων) Et hic τὸ ἰθύσῃ, & suprà, v. 584. τὸ κύψῃ, in Omnibus omninò Editionibus: & tamen, quod minimè rere, nec omnino

NOTÆ IN SCHOLIA.

De voce Διασκευαστὴς, quæ frequens *Eustathio*, *Mericum Casaubonum* non rectè existimâsse palam facit hic ipse locus, *Brevium Scholiorum*; viz. non Poetam ipsum notare, quem locum *Eustathius* modò laudat. Vid. *Casaubon.* Dissertat. 1. De Nuperâ *Homeri* Editione, p. 37. Περὶ Διασκευῆς, vid. *Eustathium.*

VARIÆ LECTIONES.

582. Ἑστάτ') γρ. ἱστάτ', *Eustath.* fol. 457. lin. 18. nec vidit *H. Steph.* Ibid. Περιεπίλαζε) γρ. ὡσεπιλαζε, Br. *Schol.*

584. Κύψειε) γρ. κύψει, vid. Not. in *Textum.*

585. Ἀναβρυχᾶται) γρ. ἀναβεβρυχᾶται, & ἀναβρυχᾶται, *Eustath.* fol. 458. lin. 45. Vid. ad *Textum.*

588. Ὄγχνας) γρ. ἄγχνας, *Florent. Aldin. Lovan. Seberi* Index, Edit. *Lugdun.* & *Oxon.*

590. Ἰθύσῃ) γρ. ἰθύσῃ, vid. Not. ad *Textum.*

Τάσδ'

Τάσδ' ἄνεμος ῥίπλασκε ποτὶ νέφεα σκιόεντα.
Καὶ μὴν Σίσυφον εἰσεῖδον, κεραπήρ' ἄλγε' ἔχοντα,
Λᾶαν βαστάζοντα πελώριον ἀμφοτέρῃσιν·
Ἦτοι ὁ μὲν, σκιριπόμφοις χερσίν τε, ποσίν τε,
595 Λᾶαν ἄνω ὤθεσκε ποτὶ λόφον· ἀλλ' ὅτε μέλλοι
Ἄκρον ὑπερβαλέειν, τότ' ἀποστρέψασκε κραταιὶς
Αὖτις, ἔπειτα πέδονδε κυλίνδετο λᾶας ἀναιδὴς·
Αὐτὰρ ὅγ' αὖ ὤσασκε παλαιόμφοις, ἐκ δ' ἱδρὼς
Ἔρρεεν ἐκ μελέων, κονίη δ' ἐκ κρατὸς ὀρώρει.
600 Τόνδε μέτ', εἰσενόησα βίην Ἡρακληείην,
Εἴδωλον· αὐτὸς δὲ μετ' ἀθανάτοισι θεοῖσι

Illas ventus propenebat in nubes obscuras.
Et protectò Sisyphum aspexi, immensos dolores patientem,
Lapidem gestantem ingentem utrisque manu:
Videlicet ille innixus manibusque pedibusque
Lapidem sursum pellebat ad cacumen; sed quando propè erat
Summitatem superaturus; tunc repellebat Impetuositas *quædam*
Retrò, deinde ad solum volvebatur lapis immanis:
Cæterùm ille rursus impellebat intensus: sudor autem
Demanabat ex membris, & Lixivium quodammodò ex capite defluebat.
Post hunc vidi vim Herculeam, vel *Herculis*
Effigiem; ipse enim apud immortales deos

ΣΧΟΛΙΑ.

592. Καὶ μὴν Σίσυφον εἰσεῖδον.] Ἀλλὰ καὶ ὁ Σίσυφος, κύριος ὢν, διὰ τί κολάζεται; τὸ κακοήθους ὁ Γλαῦκος. Ἢ ὅτι ἐπιχθόνιος εἰς σύνεσιν μετήνεγκεν.

593. Ἀμφοτέρῃσιν.] Ἀμφοτέραις ταῖς χερσίν.

594. Σκιριπόμφοις.] Ἐπειδόμφοις.

595. Ὤθεσκε.] Ὤθει.

596. Κραταιὶς.] Ἡ ἰσχυρὰ δύναμις.

597. Ἀναιδὴς.] Σκληρός.

NOTÆ.

ninò benè, nec usquequaque malè. Ἰθύει enim & κύψει legendum, sed cum notâ *Apostrophæ*, ut sit κύψει᾽ ὁ γίγας, & ἰθύει᾽ ὁ γίγας, pro κύψειεν, & ἰθύσειεν, quod video quidem *Henricum Stephanum* observâsse & mecum sentisse. Vid. ad *Iliad.* π'. v. 264.

592. Καὶ μὴν Σίσυφον εἰσεῖδον) De summo hujus loci Artificio, in *Vocibus* & *Metro*, *rebus* convenientibus, egregiè disputat *Dionys.* Halicarn. περὶ συνθέσεως λόγων. Et *Eustath.* fol. 459. lin. 46. Τὸ δὲ λᾶαν ἄνω ὤθεσκε ποτὶ λόφον, ἐπαινεῖται χάριν τῆ συνθήκης· ἐμφαίνει γὰρ τὴν δυσχέρειαν καὶ τὴ ὠθήσεως ἔργον, τῆ τῶν φωνήεντων ἐπαλλαλίᾳ· δι' ὧν ὀγκύνων τὸ σῶμα, οὐκ ἂν ἔτυχε τέχνης ὁ λόγος, ἀλλ' ἐκτραχὺ βαίνῃ συνεξομοιούμενος τῆ ἰδιωτείᾳ καὶ ἄνω ὤθεσκε· ἀμοιβῆ τὸ. — ἔπειτα πέδονδε κυλίνδετο λᾶας ἀναιδὴς ἀχάσμασιν ὅν, καὶ διὰ τοῦτο, οἷον πρυμνοῦται τῆ φορᾶ, τὸ εὐπετὲς δηλοῖ τῆ λίθου καθόδου. Hæc Ars maximè apparet, v. 593, 94, 95, 96, 97, ad finem usque 99. Vid. ad *Iliad.* χ'. v. 357.

596. Κραταιὶς) Ἡ ἰσχυρὰ δύναμις, ut rectè hic, *Er. Schol.* quasi κρατερὰ᾽ ἰς legeretur, *Eustath.* fol. 460. lin. 5. Τὸ δὲ κραταιὶς, ἐπίρρημά ἐστι, ἀντὶ τῆ κραταιῶς· σύγκειται δὲ τῆ λικεφόρος, καὶ πῆς πιότητος· γενικῶς δὲ καὶ ἐπὶ διαφόρων λέξεων, κραταιὸς ἰσχὺς ἔργου· καὶ κραταιὸς ἀνὴρ ἐπὶ λίθου, παχυλώτερον, καινὸν εἶδος· ἴσχνα δὲ καὶ ἀναιδῆ τὰ πιότητι λίγα. ἐκ δὲ ἐμψύχων καὶ τῶν μεγεθῶν· εἰ δὲ τὸ μακρὸν καὶ ἦ κεφαλικὰ ἐξεθλίβη, καινὸν εἶδος αὐτὸ πάλιν εἰς πιότητα· εὐθυμητέον δὲ ἐπιπλῆξαι, ὅτι μυρίων ἄλλων, καὶ τὸ, ἰὰν χερσὶ βῆ, ἢ κε καὶ ἐξέλασε ἐπαρχὴ· Ἴστον δὲ, ὅτι ὁ τὴν Ὀδύσσειαν παραφράσας καλὸς ῥήτωρ τὸ κραταιὸς· ἰς, ἀ φιλεῖ, κλ. Idem etiam agnoscit à *Demosthene*, Odysseæ Paraphrastâ, nomen haberi *Dæmonis* cujusdam proprium; qualis ipsi Poetæ alicubi occurrit, *Scyllæ* Mater, *Crataïs* dicta, ut μ'. v. 124. Κραταιὶς, μητέρα τ' Σκύλλης. Huic tamen loco primam interpretationem assigno, quod & in *Versione* testor.

601. Εἴδωλον· αὐτὸς δὲ μετ' ἀθανάτοισι) *Eustath.* fol. 460. lin. 23. Διαβάλλουσι δὲ τῶνδε τὸν τόπον οἱ Ὁμοιομερομανίται, διὰ τὸ εἰπεῖν τὸν Ποιητὴν, ὅτι τὸ τῆς Ἥβης ἔχοι, τὸν Διὸς δὲ Ἥρας θυγατέρα, καὶ τὸ μὴν δὲ ὅτι εἴδωλον μὲν αὐτοῦ εἰς ᾅδου, αὐτὸς δὲ σὺν θεοῖς ἦσιν ἔπρατε· καὶ ὅτι ἐπλανῶντο, ὡς ἐμοὶ δοκεῖ, καὶ ὅτι αὐτὸς ἰδίαν τὸ Ὀδυσσέως λαλεῖ, περὶ ἣ πᾶσι κοινός· ἀλλὰ τοῦτο μὲν λυθείη ἄν, διὰ δὲ τοιούτων, ὡς καὶ τὸ σπερμάτων ἴσως, κλ. *Irenæus*, l. 5. c. 9. *Perfectus Homo constat* Carne, Animâ & Spiritu. Hunc locum egregiè ornat, explicat, & defendit Clarissimus, idemque mihi Amicissimus, *Gisbertus Cuperus*, Apothecas-

NOTÆ IN SCHOLIA.

592. Σίσυφον) *Br. Schol.* hic subobscura videntur; nec tamen in *Aldinâ*, *Morrhii*, aut *Bedroti*, &c. Editt. apparent. *Eustath.* fol. 459. lin. 8. adeundus, & *Apollodor.* Bibliothec. l. 1. c. 9. §. 3.

VARIÆ LECTIONES.

596. Κραταιὶς) *Ms.* κραπαὶς, & κρατερὰ᾽ ἰς, vid. Not. in *Textum*, & *Br. Schol.*

597. Λᾶας) *Ms.* αἶας, *Dionys. Halicarn.* Edit. *Hudson.* 2. Vol. fol. 38. *Ibid.* Ἔπειθ' ὑπὸ δὴ τι, *Aristotel.* Rhetoric. l. 3. c. 11.

Τέρετε)

Τέρπεθ' ἐν θαλίῃς, ἔχῃ δ' ἔχῃ καλλίσφυρον Ἥβην,
Παῖδα Διὸς μεγάλοιο καὶ Ἥρης χρυσοπεδίλου.
Ἀμφὶ δέ μιν κλαγγὴ νεκύων ἦν, οἰωνοῖν ὡς,
Πάντοσ' ἀτυζομένων· ὁ δ', ἐρεμνῇ νυκτὶ ἐοικώς,
Γυμνὸν τόξον ἔχων, καὶ ἐπὶ νευρῇφιν ὀϊστὸν,
Δεινὸν παπταίνων, αἰεὶ βαλέοντι ἐοικώς.
Σμερδαλέος δέ οἱ ἀμφὶ περὶ στήθεσσιν ἀορτὴρ,
Χρύσεος ἦν τελαμών· ἵνα θέσκελα ἔργα τέτυκτο,
Ἄρκτοι τ', ἀγρότεροί τε σύες, θαρσαλέοί τε λέοντες,
Ὑσμῖναί τε, μάχαι τὲ, φόνοι τ', ἀνδροκτασίαι τέ.
Μὴ τεχνησάμενος, μηδ' ἄλλο τι τεχνήσαιτο,
Ὅς κεῖνον τελαμῶνα ἐῇ ἐσκέτθετο τέχνῃ.
Ἔγνω δ' αὐτίκα κεῖνος, ἐπεὶ ἴδεν ὀφθαλμοῖσι,
Καί μ' ὀλοφυδόμενος ἔπεα πτερόεντα προσηύδα,
Διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,

Oblectatur in conviviis, & habet pulchras tali s Heben,
Filiam Jovis magnanimi, & Junonis aureis sandaliis.
Circa ipsum clamor mortuorum, erat instar alitum,
Undique fugientium; ille vero obscuræ nocti similis erat,
Nudum arcum habens, & ad nervum sagittam,
Grave circumspiciens, semper jaculanti similis erat.
Horrendus autem illi circum pectora balteus,
Aureum erat lorum; in quo miranda opera elaborata erant,
Ursique, agrestesque apri, timendique leones,
Prœliaque, pugnæque, cædesque, homicidiaque,
Nec tale antè fecerat, nec simile quid pòst fecerit,
Qui Cingulum illud suo informaverit artificio.
Agnovit statim ille, postquam vidit oculis,
Et me commiserans verbis alatis alloquebatur,
" Generose Laertiade, multiscie Ulysses,

ΣΧΟΛΙΑ.

602. Θαλίῃς.] Ταῖς ἐν ἡμῖν εὐωχίαις. Καλλίσφυρον.] Καλὴν, ἀπὸ μέρους· εὔσφυρον.

607. Ἀτυζομένων.] Ταραττομένων.

608. Ἀορτήρ.] Ὁ ἐν πλαισίῳ κρεμάστρ, ἐξ οὗ τὸ ξίφος ἤρτηται.

610. Χαροπεί.] Καῤῥωπληκτικοί. Φοβεροί.

611. Ἀνδροκτασίαι.] Ἀνδροφονίαι.

612. Μὴ τεχνησάμενος, μηδ' ἄλλο τι τεχνήσαιτο, Ὅς κεῖνον τελαμῶνα ἐῇ ἐσκέτθετο τέχνῃ.] Ἐπεὶδὴ τὸν τελαμῶνα τὸν ἐν τῷ στήθει τοῦ Ὠρίωνος ἐκτύπου· ἐν ᾧ ἦν νῆες, ἐν πτηνοπόρῳ θαλάττῃ πλέουσαι, καὶ πόλεις, καὶ ἄνθρωποι, καὶ θῆρες, καὶ ἄλλα τοιαῦτα τεχνάσματα· ὁ κατασκευάσας εἰκότως τὸν τελαμῶνα, κἂν ἄλλο τοιοῦτο οὐκ ἐπεχείρησε, κἂν οὐδὲ πεχνήσεται· ὡς εἴ τις λίγοι, οἷον Φειδίας ἐποίησε τὸν Δία, τοιοῦτο οὐδὲ ἄλλο. εἰς ἐκεῖνον γὰρ τὸ * πᾶν τὸ ἑαυτοῦ τέχνης κατέκλεισεν.

613. Ἐῇ ἐγκάτθετο τέχνῃ.] Ἐνέθηκεν ἐν τῇ ἑαυτοῦ τέχνῃ, ὅ ἐστι, * ἐπενόησε. Ἐῇ.] Τῇ ἑαυτοῦ. Ἐσκέτθηθ.] Ἐνέθηκεν.

NOTÆ.

Homeri, p. 20. Veteres tria in Homine distinguebant, *Corpus*, quod Terræ mandatur, vel comburitur; *Animam*, quæ Cœlum petit; *Umbram*, quæ apud Inferos sedem suam habet. &c. Hæc refer *Boissard.* de Divinat. c. 3 & *Johan. Beaumont.* de *Genii*, c. 4. p. 92. Vid. *Br. Schol.* ad v. 622. & quæ Nos *ibid.* in *Textum.*

606. Γυμνὸν τόξον ἔχων) Quia Verbum aliquod præcipuum hactenus sit desideratum, mallem ego ἔχων hic legere, pro ἔχων. Quod qui animum diligenter advertat, necessarium videbit; nisi in sequenti versu, pro παπταίνων, legerit παπλαίνων, vel in tertio, pro ἐοικώς, ἔοικεν, tum enim æquè *Sensui*, consul um. Vel certè ad ἔχων, sive ad παπταίνων, subaudiri debet ὤν, quomodo in *Versione*, erat, pono. *Attuc.* Minime enim ad ea, quæ præcesserint, referri potest τὸ ἔχων.

612. Μὴ τεχνησάμενος) Vid. Not. in *Br. Schol.*

NOTÆ IN SCHOLIA.

612. * πᾶν) Ità scribo, pro παρὰ, his rationibus, Locum hunc imitatur & capitat *Heliodorus Æthiop. Histor.* l. 3. ubi de *Charicles* quâd. Ὅτι ὁ τεχνησάμενος, εἰς ἑαυτὸν τὸ πᾶν τῆς ἑαυτοῦ τέχνης κατέκλεισεν. Pro τὸ παρὰ itaque, quod prius obtinuit, ex *Heliodoro* lego, & corrigo, τὸ πᾶν. Tale illud *Theocriti*, Epigr. VII. —ὁ δὲ εἰς ἔργον πᾶσαν ἀφῆκε τέχνην. Ità Sapientia *Solomonis*, c. 14. v. 19. Ὁ μὲν γὰρ ἐξεβιάσατο τῇ τέχνῃ τὴν ὑποκειμένην ἐπὶ τὸ κρεῖττον.

613. * Ἐπενόησεν) An ἐνεπλήσατο; quod certè melius respondet τῷ ἐγκάτθετο. At *Eustathius* laudat vocem, fol. 461. lin. 32. Παίνη δ' καλῶς εἶπε θεὸς ἐγκὶ τὸ ἐγκάτθετο. Λέγε τὸ μὲν ῥῆμα ἐκ λέξεως κατασκευάζει τὸ κόσμησε· ἀπὸ τὸ μὴ ῥᾶον ἐκ λέξεως κατασκευάζει τὸ κόσμησε· ἀπὸ τὸ μὴ ῥᾶον ἐκ λέξεως κατασκευάζει τὸ κόσμησε· οἷον εἰς χεῖρας κοσμοσκόπον.

VARIÆ LECTIONES.

606. Ἔχων) χ. ἴσχε, vid. Not. in *Textum.*

613. Ἐγκάτθετο) χ. ἐπικάτθετο.

Ἆ δείλ', ἦ πᾶ καὶ σὺ κακὸν μόρον ἡμετέρζεις,
Οἷον τὸν ἐγὼν ὀχέεσκον ὑπ' αὐγὰς ἠελίοιο.
Ζηνὸς μὲν παῖς ἦα Κρονίονος, αὐτὰρ ὀϊζὺν
Εἶχον ἀπειρεσίην· μάλα γὰρ πολὺ χείρονι φωτὶ
Δεδμήμην, ὅ μοι κάλεπτε ἐπιπάλλειν ἀέθλους.
Καί ποτέ μ' ἐνθάδ' ἔπεμψε κύν' ἄξοντ'· οὐ γάρ ἔτ' ἄλλο
Φράζετο τῶνδέ τί μοι χαλεπώτερον εἶναι ἄεθλον.
Τὸν μὲν ἐγὼν ἀνέεντα καὶ ἤγαγον ἐξ Ἀΐδαο·
Ἑρμείας δέ μ' ἔπεμψεν, ἰδὲ γλαυκῶπις Ἀθήνη.
Ὣς εἰπὼν, ὁ μὲν αὖτις ἔβη δόμον Ἄϊδος εἴσω.
Αὐτὰρ ἐγὼν αὐτοῦ μίμνον, εἴπως ἔτ' ἔλθοι
Ἀνδρῶν ἡρώων, οἳ δὴ τοσσόνδε γένοντο.
Καί νύ κ' ἔτι τοσσοτέρους ἴδον ἀνέρας, οὓς ἐθέλοιμι,
Θησέα, Πειρίθοόν τε, θεῶν ἐριτυδέα τέκνα.

"Heu miser, certè aliquod & tu malum fatum fustines,
"Quale utique ego tuli sub radiis solis.
"Jovis quidem filius eram Saturnii, cæterum æruinnam
"Habui infinitam, valde enim deteriori viro
"Subdebar, qui mihi graves imperabat dolores;
"Et olim me huc misit, ut canem ducerem; non enim aliud
"Existimabat hoc mihi gravius esse certamen.
"Hunc quidem ego subduxi & traxi ex inferis;
"Mercurius autem me deducebat, atque cæsa Minerva.
Sic fatus, ipse quidem rursus descendit infra Plutonis domum.
Cæterùm ego illic mansi firmiter; si quis amplius veniret
Virorum Heroum, qui utique prioribus seculis perierunt.
Et fortassis adhuc priscos vidissem viros, quos volui,
Thesea, Pirithoumque, deorum gloriosos filios:

ΣΧΟΛΙΑ.

617. Μόρον.] Ἀπώλειαν. Ἠγηλάζεις.] Διώγεις, καὶ ὑπομένεις.

618. Ὀχέεσκον.] Εἶχον, ὑπέφερον.

620. Ἀπειρεσίην.] Πολλήν.

621. Δεδμήμην.] Ὑποπίπτομεν. Ἐπιπάλλειν.] Ἐπιτίλλειν, ἀσχολεῖσθαι.

622. Κύνα.] Τὸν κέρβερον. Ἄξοντα.] Ἀγαγεῖν ὀφείλοντα· πῶς γὰρ ἦν Ἡρακλῆς ἐσπανῶν, μέλλων ζῆσαι καὶ πῶς οἷόν τε τὸ αὐτὸν εἶναι, καὶ ἐν ᾅδου καὶ ἐν ἀρχῇ; καὶ ἡ Ἴλιὰς δὲ καθ' Ὅμηρον παρῄτηται, ὅτι καὶ οὐσιακή· ἀπίθανον δὲ αὐτὸν ἔχειν καὶ τὴν σκυλήν· μὴ πάλιν δὲ πῶς ὁμιλεῖ τὴν μὲ σκυλὼν ἴχθ' καλὸ φαινόμενον· τὸς δὲ δύο σίχας ἐν ἡμεῖς ἀθετοῦμεν, Εἰδώλου, ἐν, Τίρυνθ' ἐν γαλλῃς. Οὐ πάντες δὲ ἴσασι τὸ ἐν τῷ τέ ἀπόφασιν εἶναι χώρᾳ. οἱ μὲ κολαζόμενον, οἱ δὲ κολάζοντας, ὡς ὁ Μίνως καὶ ὁ Ἡρακλῆς· ἔστι δὲ μὲ πανοπλίᾳ ἐν λέοντος δέρμα, ἐν φλέγγει δὲ χωρὶς ἐν πλῆν.

NOTÆ.

621. Καί ποτε μ' ἐνθάδ' ἔπεμψε) Multi multa multis contendunt de hoc loco, disputantes & quærentes, quomodò *Hercules* in *Cælo* simul esset, etiam apud *Inferos*, & id postquam Corpus in *Oetâ* esset combustum. Præter quæ diximus suprà, ad v. 601. semel dicendum, in Poetæ defensionem, Non illum dicere, verum *Herculem* in duobus simul locis esse; at *Figuram* tantùm, *Imaginem*, *Effigiemve*, in *Orco*. Ipsum enim in *Cælo*, Εἴδωλον αὐτὸς δὲ, μετ' ἀθανάτοισι θοῇσι. Quâ σοφισματικῇ cùm nihil possit esse securius, Miror futiles *Grammaticos* otio suo in tantum abusos. *Ibid.* Οὐ γάρ ἔτ' ἄλλον Φράζετο τῶνδέ τι μοὶ χαλεπώτερον εἶναι ἄεθλον) Ἄλλον hic, pro ἄλλο, ut πεῖσον, πλυνᾶσον, ποιῆσον, sæpè etiam in *Neutro* Genere; nam per τὸ, τί certò constat, ἄεθλον hic *Neutrum* esse. *Eustathius* quidem fol. 462. lin. 30. Διὸ δὲ καὶ τὸ ἔτι εἰδώλου εἶπε· ἐπεὶ γὰρ ἔτι ἄλλον φράζεται τῶνδ' ἔτι χαλεπώτερον ἄεθλον, πῶς οἷόν τε τὸ αὐτὸν εἶναι, καὶ ἐν ᾅδου καὶ ἐν ἀρχῇ; καὶ ἡ Ἴλιὰς δὲ καθ' Ὅμηρον παρῄτηται, ὅτι καὶ οὐσιακή· ἀπίθανον δὲ αὐτὸν ἔχειν καὶ τὴν σκυλήν· μὴ πάλιν δὲ πῶς ὁμιλεῖ τὴν μὲ σκυλὼν ἴχθ' καλὸ φαινόμενον· τὸς δὲ δύο σίχας ἐν ἡμεῖς ἀθετοῦμεν, Εἰδώλου, ἐν, Τίρυνθ' ἐν γαλλῃς. Οὐ πάντες δὲ ἴσασι τὸ ἐν τῷ τέ ἀπόφασιν εἶναι χώρᾳ. οἱ μὲ κολαζόμενον, οἱ δὲ κολάζοντας, ὡς ὁ Μίνως καὶ ὁ Ἡρακλῆς· ἔστι δὲ μὲ πανοπλίᾳ ἐν λέοντος δέρμα, ἐν φλέγγει δὲ χωρὶς ἐν πλῆν. πῶς οὖν τοῦτό γε ποιήσας, &c. Verùm huic sententiæ omnes omninò alii Codices refragantur; & nobis ipse quoque *Eustathius* alio in loco favet, qui τὸ ἄεθλον, pro ὁ ἄεθλος, ab *Homero* poni fatetur, ut in illo, φ'. v. 73. — ἐπὶ τοῖσι φανεῖεν ἄεθλοι. & in illo τ'. v. 576. Νῦν δὲ μνησώμεθα ἄεθλον τόνδε ἱππότα, fol. 1879. lin. 12. Quin τὸ ἄεθλον, etiam pro *Certamen*, novit *Anthologia*, Χαῖρε, Ἰθάκη, μοῦνον ἄεθλα, μοῦνα ἄλγεα πεφὸ ξηλήσας. & ipse *Pindarus*, tot *Certaminum* ἐγκωμιαστής. Εἰ δ' ἄεθλα χαρεῖν Ἴλιάδι, φίλον ἦτορ.

630. Θησέα, Πειρίθοόν τε, θεῶν ἐριτυδέα τέκνα) *Plutarchus*, in *Pisistrato*, hunc ait Versum à *Pisistrato* hìc insertum, quasi in honorem *Atheniensium*; cùm aliàs in ipso extet Versus de *Theseo* nequaquam pejor, *Iliad.* α'. v. 265. Θησέα τ' Αἰγεΐδην, ἰπαλίκιλον ἀθανάτοισιν. Hunc Versum in *Necyâ*, sive Ultimâ *Rhapsodiâ* Odysseæ, hodiè non reperias, inquit Doctissimus & γνώριμος Dr. *Ludolphus Kusterus*, Hist.

VARIÆ LECTIONES.

622. Ἄλλο) γρ. ἄλλον, vid. Not. in *Textum*.

623. Τῶνδέ τί μοι) γρ. τῶνδ' ἔτι μοὶ vid. Not. in *Textum*.

625. Ἔπεμψεν, ἰδὲ) γρ. ἔπεμψ', ἠδὲ, *H. Steph.*

630. Ἐριτυδέα) γρ. ἀγελείτας, *Plutarch.* in *Theseo*, vid. Not. in *Textum*.

Ἄλλα.

Ἀλλὰ πρὸ ἐπὶ ἔθνε᾽ ἀγείρετο μυρία νεκρῶν,
Ἠχῇ θεσπεσίῃ· ἐμὲ δ᾽ ὦχλαδὸν δέος ᾕρει,
Μή μοι Γοργείην κεφαλὴν δεινοῖο πελώρου
Ἐξ Ἀΐδος πέμψειε ἄγαυὴ Περσεφόνεια.
Αὐτίκ᾽ ἔπειτ᾽ ἐπὶ νῆα κιὼν, ἐκέλευον ἑταίρους
Αὐτούς τ᾽ ἀμβαίνειν, ἀνά τε πρυμνήσια λῦσαι·
Οἱ δ᾽ αἶψ᾽ εἰσέβαινον, ἐπὶ κληῖσι κάθιζον·
Τὴν δ᾽ καθ᾽ Ὠκεανὸν ποταμὸν φέρε κῦμα ῥόοιο·
Πρῶτα μὲν εἰρεσίη, μετέπειτα δ᾽ κάλλιμος οὖρος.

Sed antea multitudo congregabatur infinita mortuorum,
Sonitu immenso; me verò pallidus timor invasit;
Nè mihi Gorgonium caput horrendi monstri
A Plutone mitteret inclyta Proserpina.
Statim deinde ad navem profectus, jussi socios
Et ipsos ascendere & rudentes solvere;
Illi itaque sunt statim ingressi, & per transtra sederunt.
Illam verò per Oceanum flumen ferebat fluctus fluenti:
Primùm quidem remigatio, postea autem secundus ventus.

ΣΧΟΛΙΑ.

633. Γοργείην κεφαλήν.] Μεθύπις, ἡ Γοργόνος, κεφαλή.

636. Ἀμβαίνειν.] Ἀναβαίνειν, εἰσιέναι.

638. Φέρεν.] Ἐκόμιζεν. Ῥόοιο.] Τοῦ ῥεύματος.

639. Εἰρεσίη.] Κωπηλασία, παρὰ τὸ ἐρέσσω, τὸ κωπηλατῶ, ἐξ οὗ καὶ ἐρέτης. Κάλλιμος οὖρος.] Καλὸς ἄνεμος.

NOTÆ.

Critic. *Homeri*, §. VI. Nunquam sanè inibi reperiebatur, in *Ultimâ* scilicet; verùm in *Necyâ*, hoc est, in hoc loco, hodienum extare videmus; si excipias vocem ἀειδέλιον, quam inter *Var. Lectiones* ideò repono: Cùm utraque Vox sit *Homerica*.

632. Ἠχῇ θεσπεσίῃ) Allusum ad Mortalium Congregationes, quæ multo strepitu fieri solent; præterea τερσμὸν τῶν *Animalium* tribuit Poeta, ut v. 5. —— ταὶ δ᾽ τελέσσας ἴσπεν, & v. 9. Ὡς αἱ τῶν ἐπέλευσαν ἀμὸ ψῦχος. Quod in ipso Mortis articulo verissimum esse, à nonnullis exploratum accepi.

633. Γοργείην κεφαλὴν) *Eustath.* fol. 462. lin. 53. Ἀλέξανδρος ὁ Μύνδιος ἱστορεῖ, ὡς ἐν τοῖς ἔξω Ἀθηναίων φέρεται, ἐπὶ τῷ Γοργόνα, τὸ ζῶον καλεῖσθαι οἱ ἐν Λιβύῃ Νομάδες, ἔστι καὶ γένος, Κατώβλεπας. ἢ Κατώβλεπον· ἴσα δὲ σκύβαλα ἀγελαῖα ὁμοίως καλεῖ δὲ τινας, μόχθον τῇ δ᾽ ἀπαθοῦς πάσης τὸ ἐντυχόντος ἀλεφείρει· καὶ ἐμβλέψαι δὲ κεῖνος, ἀκὰ τῇ χαμαὶ κὰτ᾽ ὀμμάτων φορᾷ.

639. Πρῶτα μὲν εἰρεσίη) Carmen hoc, ut multa alia *Homeri*, cessit in *Proverbium*. *Primo Labor, dein Pramium. Magna Cura Magna Merces.* Τοῦ δὲ πονῆσαι καὶ θεὸς συλλαμβάνει.

VARIÆ LECTIONES.

634. Ἄγαυὴ) γρ. ἀπαυή.

639. Εἰρεσίη) γρ. εἰρεσίη, *Eustath.* fol. 463. lin. 34.

ΤΗΣ

ΤΟΥ ΟΜΗΡΟΥ

ΟΔΥΣΣΕΙΑΣ

ΡΑΨΩΙΔΙΑ, ἢ ΓΡΑΜΜΑ, Μ'.

Ὑπόθεσις τῆς ῥαψῳδίας Μ'.

Διηγεῖται τῷ ἐξ ᾅδου χρωμένῳ αὐτῷ ὑποδὺς ὡς Κίρκῃ· καὶ ὡς παρὰ Σειρῆνας παρέπλευσεν, καὶ τὰς Πλαγκτὰς πέτρας. Σκύλλαν τε & Χάρυβδιν· καὶ τῶν τ' αὐτοῦ νεὼς καὶ τῶν ἑταίρων ἀπώλοντο πάντες τὸν ἁλίτην βιὸν· καὶ ὡς μόνῳ ἐπὶ ξύλῳ ὡς Καλυψὼ διεσώθη.

Ἐπιγραφή.

Τὰ περὶ Σειρήνας, καὶ Σκύλλαν, καὶ Χάρυβδιν, καὶ βόας Ἡλίου.

Ἄλλως.

Μῦθ. Σειρῆνας ἴχθ. πλαγκτὰς, βοῦς τ' Ἡελίοιο. LIB. XII.

Αὐτὰρ ἐπεὶ ποταμοῖο λίπεν ῥόον Ὠκεανοῖο
Νηῦς, ἀπὸ δ' ἴκετο κῦμα θαλάσσης εὐρυπόροιο,
Νῆσον ἐς Αἰαίην, ὅθι τ' Ἠοῦς ἠριγενείης
Οἰκία καὶ χοροί εἰσι, καὶ ἀντολαὶ Ἠελίοιο·
Νῆα μὲν ἔνθ' ἐλθόντες ἐκέλσαμεν ἐν ψαμάθοισιν,
Ἐκ δὴ καὶ αὐτοὶ βῆμεν ἐπὶ ῥηγμῖνι θαλάσσης.
Ἔνθάδ' ἀποβλήξαντες ἐμείναμεν ἠῶ δῖαν·

CÆterum postquam fluvii reliquit fluentum Oceani
Navis, pervenitque ad fluctus maris latifluvi,
Insulam ad Ææam, ubi Auroræ mane-genitæ
Domicilium & chori sunt, & Solis ortus;
Navem quidem huc digressi subduximus in arenam,
Nos ipsi autem egressi sumus ad litus maris,
Illic dormientes expectavimus auroram divinam:

ΣΧΟΛΙΑ.

2. Ἀπὸ δ' ἴκετο.] Ἀφίκετο, παρεγένετο. Εὐρυπόροιο.] Πλατὺν πόρον ἔχοντος· οἱονεὶ τὸ ῥεῦμα, ἢ καλὸν πόρον ἔχοντος.

3. Ὅθι τ' ἠοῦς ἠριγενείης Οἰκία καὶ χοροί εἰσι, καὶ ἀντολαὶ ἠελίοιο.] Οὐχ ὡς * ἀναπλλεύσης τὴν ἠῶ ἐκεῖ τῇ Αἰαίᾳ, τοῦτο εἴρηκεν· ἀλλ' ὅτι ἀπλέσθημεν, ἐπὶ περιχθόνα, ἔστι ἠῶ καὶ ἥλιον· ἢ καθὼ σύγκεισι τὸν Κιμμερίων· ἢ ὡς σκότος φῶς παρέχουσι, ἀνατολὴν κέκληκεν, ἐπεὶ ὑψηλοῦ ἔστιν ἡ Κίρκαια, ἥλιον ἐκ νυκτὸς ἐπιλάμπει τῷ τ' Κίρκης ξοάνῳ.

4. Χοροί.] Χῶραι, τόποι· ὡς καὶ εὐρύχορον λέγει * γῆν, τὴν εὔχωρον καὶ μεγάλην. Ἀντολαί.] Ἀνατολαί.

7. Ἀποβλήξαντες.] Ἀποσυρξάντες, κωμωδήσαντες.

NOTÆ.

V. 1. Αὐτὰρ ἐπεὶ ποταμοῖο) De Fluvio *Oceano*, in magnum *Oceanum* se exonerante, vid. *Eustath.* fol. 1704. lin. 42. Edit. *Roman.* item *Strabo*. Geogr. l. 1. fol. 6. 7. & 8. ubi *Cratetis* sententia.

NOTÆ IN SCHOLIA.

V. 3. Οὐχ' ὡς * ἀναπλλεύσης τὴν ἠῶ) Ità lego, pro, * ἀνέπλευσας, ex *Eustathio*, qui fol. 464. lin. 37. hoc *Scholion* laudans ἐκ τῶν Παλαιῶν, ità legit.

4. Χοροί) Et hoc *Scholion* laudat *Eustath.* ibid. fol. 465. lin. 12. ὡς ἐκ Παλαιῶν, Ἠοῦς ὁ χοροὶ, κοῖλα τὰς Παλαιὰς, ἢ οἱ ἀπλῶς τόποι, ἢ χῶραι· ὡς ἡ εὐρύχορος, φασὶ, λέγει ἀπλῶς γῆν, τὴν εὔχωρον ἢ μεγάλην. Unde patet * γῆν supplendum post λέγει, ut Nos nunc facimus.

VARIÆ LECTIONES.

V. 3. Νῆσον ἐς Αἰαίην) γρ. νῆσόν τ' Αἰαίην, *H. Steph.* malè. 7. Ἐνθάδ') γρ. ἔνθα δ'.

Ἠμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος ἠώς,
Δὴ τότ' ἐγὼν ἑτάρους πεφίλω εἰς δώματα Κίρκης
Οἰσέμεναι νεκρὸν Ἐλπήνορα πεπνευῶτα.
Φιτροὺς δ' αἶψα τεμόντες, ὅθ' ἀκροτάτη πρόεχ' ἄκτη,
Θάπτομέν ἀχνύμενοι, θαλερὸν χύ' δάκρυ χέοντες.
Αὐτὰρ ἐπεὶ νεκρός τ' ἐκάη, χὴ τεύχεα νεκρῶν,
Τύμβον χεύαντες, χὴ ἐπὶ στήλῃ ἐρύσαντες,
Πήξαμεν ἀκροτάτῳ τύμβῳ εὐῆρες ἐρετμόν.
Ἡμῖν μὲν τὰ ἕκαστα διάπυσθ' ἠδ' ἄρα Κίρκην
Ἐξ ἀίδεω ἐλθόντες ἐλήθομεν, ἀλλὰ μάλ' ὦκα
Ἦλθ' ἐπιταμένη· ἅμα δ' ἀμφίπολοι φέρον αὐτῇ
Σῖτον χὴ κρέα πολλὰ, χὴ αἴθοπα οἶνον ἐρυθρόν.
Ἡ δ' ὀρθὴ μέσσῃ σὺν μετηύδα δῖα θεάων,
Σχέτλιοι, οἱ ζώοντες ὑπήλθετε δῶμ' Ἄϊδος,
Δισθανέες, ὅτε τ' ἄλλοι ἅπαξ θνήσκουσ' ἀνθρωποι.
Ἀλλ' ἄγετ', ἐσθίετε βρώμην χὴ πίνετε οἶνον
Αὖθι παρημένοι· ἅμα δ' ἠοῖ φαινομένῃφι
Πλεύσεσθ'· αὐτὰρ ἐγὼ δείξω ὁδὸν, ἠδὲ ἕκαστα
Σημανέω· ἵνα μή τι κακοῖς ἀλεγεινῇ,
Ἢ ἁλὸς, ἢ ἐπὶ γῆς, ἀλγήσετε πῆμα παθόντες.
Ὣς ἔφαθ'· ἡμῖν δ' αὖτ' ἐπεπείθετο θυμὸς ἀγήνωρ.

Quando itaque manè genita apparuit
roseis digitis aurora,
Tunc ego lætos, ramum ad domum
Circes
Efferre mortuum Elpenorem detuli-
mus.
Arboribus verò statim excisis, ubi
luminum prominebat situs.
Sepelivimus tristes, uberes lacrymas
fundentes.
Cæterum postquam cadaver combu-
stum est & arma mortui,
Busto aggesto, & desuper cippo ere-
cto,
Fiximus in summo sepulchro bene-
tabrefactum remum.
Nos quidem singula administravi-
mus: at non Circen
Ab inferis regressi latuimus, sed val-
de celeriter
Venit festinabunda: simulque ancillæ
ferebant cum ipsa
Panem & carnes multas, & fragrans
vinum rubrum:
At ipsa in medio stans alloquebatur
diva dearum.
" Miseri, qui viventes subiistis domum
Plutonis,
" Bis morituri; cùm alii semel duntaxat
moriantur homines.
" Verùm agite, edite cibum, & bibite
vinum.
" Hic toto die; simulque aurorâ illu-
cescente
" Navigabitis; cæterum ego monstra-
bo viam atque singula
" Signa dabo; nequam sinistro consi-
lio damnoso,
" Aut in mari, aut in terrâ, doleatis
cladem passi.
Sic ait; nobisque statim persuadeba-
tur animus generosus.

ΣΧΟΛΙΑ.

11. Φιτρούς] Κορμούς. Περίχυν.] Ἔξιχνε.
12. Θάπτομεν] Ἐκκόπτομεν.
14. Χεύαντες.] Χώσαντες. Ἐρύσαντες] Νῦν ἑστῶτας.
16. Διείπομεν.] * Ἐπεργάζομεν, ἐπιτελοῦμεν.
17. Ἐλήθομεν.] Ἐλανθάνομεν.
18. Ἐπιταμένη.] Παρασκευάσασα.
22. Διδυναίες.] Δὶς ἀποθνήσκοντες.
27. Ἀλγήσετε.] Ὀδυνήσεσθε.

NOTÆ.

9. Περίκλυτον) Vid. ad κ'. v. 100.

14. Τύμβοιο χεύαντες χὴ ἐπὶ στήλῃ ἐρύσαντες) Vid. quæ Nos ad *Iliad.* ψ'. v. 457.

15. Πήξαμεν ἀκροτάτῳ τύμβῳ) Vid. quæ Nos modò, ad λ'. v. 77.

22. Διδυναίες) *Eustath.* fol. 264. lin. 40. Τὸ δὶς διδυναίες, ἀντὶ τοῦ δὶς μέχρι τινὸς ἀποθνήσκοντες Ἀπολλόδωρος, λέγων, ὅτι τὸ δὶς κεῖται τελείως ἀντὶ τοῦ σύγκρισιν σημαίνειν τοῦτο δίπους, τρίπους· ἄφελεν ἂν καὶ διδυναίες· τουτέστι διζωίες· τοιοῦτόν ἐστι καὶ τὸ Ἀπολλόδωρος λέγει, χωρὶς τοῦ Ἀριστοφανείου· δισσὸν γὰρ μὴ τοῦτο, ἀλλὰ τρισσὸν καὶ τετρασσὸν φασίν· ἔστι μὲν οὖν ὅτε καὶ αὐτὸς ἔφησε· ἔστι δὲ ὅτε καὶ τοῦτο ἀπαιτεῖ σύγκρισιν αὐτοῦ, οἷον ἐστὶ τὸ, Δὶς παῖδες οἱ γέροντες, δισσοὶ παῖδες καθέστασι συγκρίσεως· ἐπὶ δὲ μέρους λέγω· ἄλλως πῶς πεῖται; παρὰ τὸ δίπους, δίπαιδες, ὁ δύο κεκτημένος δηλαδὴ παῖδας. *Ibid.* Ἄλλοι ἅπαξ θνήσκουσ' ἄνθρωποι) Confer Epist. ad *Hebræ.* c. 9. v. 27. Ἀπόκειται τοῖς ἀνθρώποις ἅπαξ ἀποθανεῖν.

NOTÆ IN SCHOLIA.

16. * Ἐπεργάζομαι) Ita pro ἐπεργάζομαι emendo.

VARIÆ LECTIONES.

9. Περίκλυτον) γρ. περίειον. vid. Not. in *Textum*, ad κ'. v. 100.
11. Περίχυν) γρ. περύχ'.
12. Καβ' ὕδωρ χέοντες) γρ. καβύδωρ χέοντες, ut *Odyss.* κ'. v. 409.
22. Διδυναίες) γρ. δὶς θνητοί, vid. N. in *Textum*.

Ὣς

Ὡς τότε μὲν τοσσῆτα ἦμαρ, ἐς ἠέλιον καταδύντα,
Ἤμεθα, δαινύμενοι κρέα τ' ἄσπετα, καὶ μέθυ ἡδύ·
Ἡμος δ' ἠέλιος κατέδυ καὶ ἐπὶ κνέφας ἦλθεν,
Οἱ μὲν κοιμήσαντο παρὰ πρυμνήσια νηός·
Ἡ δέ με χειρὸς ἑλοῦσα, φίλων ἀπονόσφιν ἑταίρων,
Εἷσέ τε, καὶ κατὰ πάντα διείρετο, καὶ ἐξερέεινεν ἕκαστα·
Αὐτὰρ ἐγὼ τῇ πάντα κατὰ μοῖραν κατέλεξα.
Καὶ τότε δή μ' ἐπέεσσι προσηύδα πότνια Κίρκη,
Ταῦτα μὲν ὕπο πάντα πεπείρανται· σὺ δ' ἄκουσον,
Ὡς τοι ἐγὼν ἐρέω, μνήσω δέ σε καὶ θεὸς αὐτός.
Σειρῆνας μὲν πρῶτον ἀφίξεαι, αἵ ῥά τε πάντας
Ἀνθρώπους θέλγουσιν, ὅς τις σφέας εἰσαφίκῃ.
Ὅστις ἀϊδρείῃ πελάσῃ καὶ φθόγγον ἀκούσῃ
Σειρήνων, τῷ δ' οὔτι γυνὴ καὶ νήπια τέκνα,
Οἴκαδε νοστήσαντι, παρίστανται, οὐδὲ γάνυνται.

Adeò tum quidem toto die, ad ſolem occidentem,
Sedebamus, epulantes carnes immenſas, & dulce vinum:
Quando verò ſol occidit, & crepuſculum advenit,
Illi quidem dormierunt apud rudentes navis;
At illa me manu prehendens, ſeorſim dilectis à ſociis,
Locavitque & allocuta eſt, & interrogavit ſingula;
Cæterum ego illi omnia ordine recenſui.
Et tum jam me verbis alloquebatur veneranda Circe,
" Hæc quidem ſic omnia *ſunt* perfecta; tu autem audi,
" Ut tibi ego dicam; in memoriam verò reducat etiam Deus ipſe.
" Ad Sirenas quidem primùm perveniet; quæ ſanè omnes
" Homines demulcent, quicunque ad eas perveneris.
" Quicunque imprudentiâ appulerit, & vocem audierit
" Sirenum, huic neutiquam uxor & infantes liberi
" Domum reverſo aſtant, neque lætantur.

ΣΧΟΛΙΑ.

34. Προσθλιεῖν.] * Προσπίπτειν.
37. Πεπείρανται.] Τετέλεσται.
38. Μνήσω.] Μνημονεύσας ποιήσω.
39. Σειρῆνας μὲν πρῶτον.] Καλῶς μὲν τὰς πανδήμους Ἀχελῴου καὶ Στερόπης τῆς Παρθενοπαίου αἱ Σειρῆνες· καὶ οὗτος ὁ Ἀχελῷος καὶ Τερψιχόρης, μιᾶς τῶν Μουσῶν ἐλόμενος παρθένιον, ἱμασθέντος ὑπὸ Ἀφροδίτης, καὶ ἔχοντος τὸ-
γε ἀπόπλουν εἰς τὸ Τυρρηνικὸν κλύσμα, καὶ πῶν κατέχοντος· * Ἀνθημοῦσαν ἀνομαζομένην ἀπόρρωθεν ὑπ' αὐτῶν, * Ἀγλαοφάμην, Θελξιέπειαν, Πισινόην, ἢ Λίγειαν· καλῶς ὁ Ὅμηρος, ὅτι· Σειρῆσιν ὦδὲ λίγεια.] Ἀφίξεαι.] Παραβλήσεις.
40. Θέλγουσιν.] Ἀπατῶσιν.
43. Γάνυνται.] Χαίρουσιν.

NOTÆ.

35. Αὐτὰρ ἐγὼ τῇ πάντα κατὰ μοῖραν) De *Ultimâ* ſ *nacâ* produ&ctilde;tâ, videſis ad ι'. v. 245.

39. Σειρῆνας μὲν πρῶτον ἀφίξεαι) De *Sirenibus*, Heraclid. Pontic. in Allegor. *Homeri*, & *Heraclitus*, ἐπὶ λέξεων, §. 14. *Plutarch.* Sympoſiac. IX. Quæſt. 14. *Xenophon*. Ἀπομνημονεύμασιν, l. 2. fol. 592. *Euſtath.* fol. 469. lin. 17. *Demophilus*, Δεῖ, ὥσαφ Σειρῆνας, τὰς ἡδονὰς παραλθεῖν, ἢ κηλοσπόνδῳ τῷ Ἀρετῇ ἰθῦν. ὡς παιδείαν. *Seneca*, Epiſt. 31. Ad ſummam ſapiens eris, ſi clauſeris Aures. Quibus ceram parum eſt obdere: firmiori ſpiſſamento opus eſt, quàm uſum in Sociis *Ulyſſem* ferunt. Vid. *Duporti* Gnomolog.

42. Τῷδ' οὔτι γυνὴ καὶ νήπια τέκνα, παρίστανται. οὐδὲ γάνυνται) *Iſaac. Caſaubon.* ad hunc locum ità, in Codice *Elienſi* Epiſcopi, *Mori. No. ut τῷδέ τε λίλανται. his utraque Conſtructio eſt confuſa.* Dico ego, γυνὴ ad παρίστανται, τέκνα ad γάνυνται, referendum ; ctiam τέκνα, ut *Neutrum* ad παρίστανται, ut *Plurale*, ad γάνυνται. *Trajectio* dicitur. Vid. infrà, ad v. 68.

NOTÆ IN SCHOLIA.

34. * Προσπίπτειν) Emendo, pro προσπέσειν.

39. * Ἀνθημοῦσαν) Pro ἀνθημοῦσαν lego, quod facit *Aloy*, i MS. & *Apollon.* Argonaut. l. 4. v. 901. Ἀνθεμοῦσαν vocat. Vid. mox, ad v. 159. Nomina earum aliis, * Ἀγλαόφωνος, Θελξιέπης, ἢ Θελξιόη, & Μέλπη. Pro *Veteri*, ἢ Λίγεια, ex *Aloſiano* MS. lego, ἢ Λίγνια, & poſt Σειρήσιν addo τὸ, γάρ. Sunt & Λάκωνία & Παρθενόπη Nomina *Sirenum*. vel harum ipſarum aliis, vel certè, Aliarum. Vid. de *Sirenibus*, Scholiaſten *Apollonii* in locum prædictum, & quæ Nos ad *Euripid.* Helen. v. 166.

VARIÆ LECTIONES.

40. Ὅς τις σφέας εἰσαφίκῃ)) γρ. ὅτι σφέας εἰσαφίκοιτο. *H. Steph.*

41. Ἀϊδρείῃ) γρ. ἀϊδρίῃ, non æquè benè, vid. ad *Iliad.* ϛ'. v. 198. *Ibid.* Πελάσῃ, ἀκούσῃ) γρ. πελάσῃ, ἀκούσῃ. *H. Steph.*

Ἀλλά τι Σειρῆνες λιγυρῇ θέλγουσιν ἀοιδῇ,
Ἥμεναι ἐν λειμῶνι· πολὺς δ' ἀμφ' ὀστέοφιν θὶς
Ἀνδρῶν πυθομένων, περὶ δ' ῥινοὶ μινύθουσιν.
Ἀλλὰ παρὲξ ἐλάαν· ἐπὶ δ' οὔατ' ἀλεῖψαι ἑταίρων,
Κηρὸν δεψήσας μελιηδέα, μήτις ἀκούσῃ
Τῶν ἄλλων· ἀτὰρ αὐτὸς ἀκουέμεν, αἴ κ' ἐθέλῃσθα.
Δησάντων σ' ἐν νηῒ θοῇ χεῖράς τε, πόδας τε,
Ὀρθὸν ἐν ἱστοπέδῃ· ἐκ δ' αὐτῆς πείραι' ἀνήφθω·
Ὄφρα κε τερπόμενος ὄπ' ἀκούσῃς Σειρήνοιϊν.
Αἰ δέ κε λίσσηαι ἑτάρους, λῦσαί τε κελεύῃς,
Οἵδε σ' ἐπὶ πλείονες τότ' ἐν δεσμοῖσι δεύεσθαι.
Αὐτὰρ ἐπὴν δὴ τάσγε παρὲξ ἐλάσωσιν ἑταῖροι,
Ἔνθα τοι οὐκέτ' ἔπειτα διηνεκέως ἀγορεύσω,
Ὅππῃ πρόσσω ἔσσεται ὁδός, ἀλλὰ σὺ αὐτὸς
Θυμῷ βουλεύειν· ἐρέω δέ τοι ἀμφοτέρωθεν.
Ἔνθεν μὲν γὰρ πέτραι ἐπηρεφέες· περὶ δ' αὐτὰς
Κῦμα μέγα ῥοχθεῖ κυανώπιδος Ἀμφιτρίτης·

" Sed Sirenes flaviduli demulcent cantilenâ,
" Defidentes in prato: ingens verò circùm ex offibus acervus
" Virorum putrefactorum, & undique cutes putrefcunt.
" Sed præternavigato: atque aures obtura fociorum,
" Ceram mulcens fuavem, ne quifquam audiat
" Aliorum: cæterùm ipfe audias, fiquidem voles.
" Ligentte in navi veloci manufque pedefque
" Erectum ad medium; & ex ipfo malo funes alligentur,
" Ut magnâ voluptate vocem audias Sirenum.
" Quòd fi rogaveris focios, folveréque juferis,
" Illi te in pluribus vinculis illigent.
" Cæterùm poftquam has præternavigârint focii,
" Hîc tibi haud ego deinceps peremptorie dicam,
" Utra tibi jam via erit: verùm tu ipfe
" Animo confidera; dicam enim tibi ex utraque parte.
" Hîc enim petræ quidem opertæ; juxtaque illas
" Fluctus ingens refonat cærulei maris;

ΣΧΟΛΙΑ.

44. Λιγυρῇ.] Πολλῇ.
45. Ὀστέοφιν.] Τῶν ὀστῶν. Θὶς.] Σωρός.*
46. Πυθομένων.] Σηπομένων. Ῥινοί.] Τὰ δέρματα. Μινύθουσιν.] Ἐλαττοῦνται
47. Παρὲξ ἐλάαν.] Παρελαύνειν ἐκτὸς αὐτῶν.
48. Δεψήσας.] Μαλάξας· ἔνθεν καὶ βυρσοδέψας.
50. Δησάντων.] Δησάντωσαν, Ἀττικῶς.
51. Ἱστοπέδῃ.] Τῷ πάχει, ἐν ᾧ ὁ ἱστὸς ἐπήγνυτο. Ἐκ δ' αὐτῆς.] Ἐκ ἧς ἡ ἱστοδ. Πείρατα.] Τὰ χορδία. Ἀνήφθω.] Δεδέσθω.
54. Δεύεσθαι.] Δεύσεσθαι.
55. Παρὲξ ἐλάσωσιν.] Ἐκτὸς ἐλάσωσιν.
56. Διηνεκέως.] Οἷον κατὰ μίαν παρεγγελίαν, ἢ δι' ὅλου.
57. Ὅππῃ πρόσσω.] Ἀντὶ τοῦ. Ἀφ' ποίας.
58. Ἀμφοτέρωθεν.] Ἑκατέρωθεν.
59. Ἐπηρεφέες.] Πυκναὶ, ἢ ἐπηρεισμέναι, ὑψηλαὶ καὶ ἐπίκροι. Περὶ δ' αὐτάς.] Πλησίον ἢ αὐτῶν.
60. Ῥοχθεῖ.] Ἦχον ἀπηλεῖ. Κυανώπιδος.] Μελανοφθάλμου.

NOTÆ.

* *Hesych.* v. Ὀστέων σωρός.

46. Περὶ ᾗ ῥινοὶ μινύθουσι) Vid. ad v. 35.

48. Κηρὸν δεψήσας) Adeundus *Nonius Marcellus*, in Vocibus *Condepsere* & *Depsere*. Sed tibi fortaffis aliquis molit & depfit, *Varro* in *Myfteriis*. Ἐπὶ δ' ἅπαντ' ἀλεῖψαι ἑταίρων. Κηρὸν δεψήσας. Hinc *Proverbium*, Κηρὸν πῖσσαν ἐπαλείφεις, *Apoftolius*, Centur. VIII. Vid. ad v. 39.

51. Ὀρθὸν ἐν ἱστοπέδῃ) Cur ἱστοπέδη, per *Medium*, expono, vid. ad β'. v. 424.

54. Οἵδε σ' ἐπὶ πλείονες τότ' ἐν δεσμοῖσι δεύεσθαι) Nè frustra τὸ ἐν *bis* occurrat, vel legendum, εἰ δέ σε μή, &c. quod mallem, quia nec infra *bis* legitur, v. 164. Ἡμεῖς ἧ πλείονες &c. non ἡμεῖς δ' ἐν πλείονες· vel τὸ ἐν posterius per *Tmesin* referendum ad τὸ δεύεσθαι, ut fit, ἐνδεύεσθαι, ut mox, v. 196. Πλείονά μ' ἐν δεσμοῖσι δέον, vel fimul legendum, ἐνδεσμοῖς. vel posterius ἐν rejiciendum penitus, ut legatur τότε δεσμοῖσι, & fic τὸ τ'. ante δ'. producatur, ut ad α'. v. 203. *Hervagian.* Codex in Margine, pro δεύεσθαι legit ἔσεσθαι, elegantèr.

VARIÆ LECTIONES.

47. Παρὲξ ἐλάαν) γρ. παρεξελάαν. *H. Steph.* ut infrà, v. 55. & v. 109.

51. Ἀκούῃς) γρ. ἀκούσῃς. *H. Steph.*

54. Οἵδε σ' ἐπὶ πλείονες) γρ. εἰ δέ σε μὴ πλείονες, & εἰ δέ σ' ἔσ, vid. Not. in *Textum*.

55. Παρὲξ ἐλάσωσιν) γρ. παρεξελάσωσιν, ut fuprà, v. 47.

59. Ἐπηρεφέες) γρ. ἐπιῤῥιφέες, vel ἐπιῤῥιπέες, vid. ad *Iliad.* μ'. v. 54.

Πλαγκτὰς δή τοι τάσγε θεοὶ μάκαρες καλέουσι·
Τὴν μὲν τ' οὐδὲ ποτητὰ παρέρχεται, οὐδὲ πέλεια
Τρήρωνες, ταί τ' ἀμβροσίῃ Διὶ πατρὶ φέρουσιν,
Ἀλλά τε καὶ τῇσι αἰεὶ ἀφαιρεῖται λὶς πέτρη·
Ἀλλ' ἄλλην ἐνέηκε πατὴρ ἐναρίθμιον εἶναι.
Τῇδ' οὔπω τις νῆυς Φύγεν ἀνδρῶν, ἥτις ἵκηται,
Ἀλλά θ' ὁμοῦ σανίδας τε νεῶν καὶ σώματα φωτῶν
Κῦμά θ' ἁλὸς φορέουσι πυρός τ' ὀλοοῖο θύελλαι.

" Erraticas profectò eas dii beati vocant:
" Hac neque volucres prætervolant, neque columbæ
" Timidæ, quæ ambrosiam Jovi patri ferunt:
" Verùm ex iis aliquam semper adimit lævis petra,
" Sed aliam summittit pater, ut in numerum sufficiatur.
" Hac nondum ulla navis effugit virorum, quæcumque accesserit,
" Sed pariter tabulas navium, & corpora virorum,
" Fluctusque maris auferunt igniſque pernicioſa procellæ.

Σ Χ Ο Λ Ι Α.

61. Πλαγκτὰς] Ὁ μὲ Κράτης, ὅτι πλάζει σφὶ αὐτὰς τὸ κῦμα· οἱ δὲ, ὡς τῶν Δήλου κινηθεισῶν καὶ φερεσθεισῶν. Θεοὶ μάκαρες καλέουσι.] Ἀνθρωποι δὲ ἀδίκως, καὶ τοῦτο ὀλοοῦ πάλαισε.

61. Ποτητὰ.] Πτηνά.

63. Τρήρωνες.] Δειλαί. Ἀμβροσίῃ Διὶ πατρὶ φέρουσιν.] Ἤτοι μυθικῶς φησὶ, τὰς ψυχὰς ἀπὸ τῶν Πλαγκτῶν πετρῶν ἀπομιμεῖσθαι Διὶ ἀμβροσίαν· ἢ φυσικῶς τοῦτο εἴρηκεν· ὅτι ἡ ἔσθησις τῆ Πλαγκτῆ γίνεται τὸ ἄχρι, ὁ λεγόμενον Ταύρου, πάρ συμβαίνῃ τὴν ἐκεῖ ἀστέρας αὐτοῦ κεφαλὴν ἀπὸ κεφαλῶν ἐπὶ ἀστέρα, ἃ Πλειάδες λέγονται, ἵνα ἀμαυροῦσθαι ὑπὸ τῆ ἀναφορᾶς ἡ καταδύσεως φέρεσθαι ἡμῖν πορρώ, ὥδαι φιλόσοφοι, ὀλίγ. ὃν καὶ Πλάτων ἐν Φαίδρᾳ Δίᾳ συστρατεύεσθαι. Ὁ μὲν δὲ μύθος ἐν ἑρμηνεῖ Ζεὺς πλοῖον ἄρμα ἐλαύνῃ.

64. Λὶς πέτρη.] Λεία ἢ ὁμαλὴ πέτρα.

65. Ἐνέηκε.] Ἐνέβησε, καὶ ἐπέμφθη.

67. Πέτρας.] Τὰς σανίδας.

68. Φορέουσι.] Νῦν, φέρουσι. Θύελλαι.] Καταιγίδες.

Ν Ο Τ Æ.

63. Τρήρωνες· ταί τ' ἀμβροσίῃ Διὶ πατρὶ φέρουσιν) Huc refer illa *Byzantinæ Musæ*, apud *Athenæum* l. xi. fol. 491. & *Eustath.* fol. 1712. lin. 40. Ζεὺς δ' ἀρ' ἐνὶ Κρήτῃ τρίφῳ μείρατ' ἐὸ ἄγος πὸ τὸ Ἡίδει μακάρεσσι· ὁ δ' ἀέξιτο πᾶσι μέλεσσιν. Τὸν μὲν ἄρα τρήρωνες ὑπὸ ζαφλῳ πτέρυγι ἄμβροσίῃ φορέουσιν ἀπ' οὐρανοῦ ῥοάων· Νικάνωρ δ' ἐν πίτυος μείρας Αἰτωλὸς, ἀλλὰ κρύσσων, Γαμφηλῇ φορέουσι, φησὶν Διὶ μαθόντα. Τὸν καὶ νικήσας πατέρα Κρόνον ἐυθύτατα Ζεὺς Ἀμάλθῃ ποίησε, ἑ κεραὶ ἐγκαθίσασεν. Ἅτις δ' αὖτως τρήρωσι Πελειάσι ἔπεσι τιμᾷ, Ἀτὰρ τὶ Θρῃκῷ ἑ Χείμαρος ἄγγελοι εἰσιν. Audiendus præterea *Eustath.* Edit. *Basil.* fol. 476. lin. 7. Ἀλιξωδῷ ὃ ὁ Παφίῳ ἱερεῦς τὸ Ὁμήρου ἦν Αἰγυπίων, Δημοσθένους δὲ Αἰσχρὸς τροφὸς ὁ αὐτὸς, σοφῶς που, φησὶν, ἐκ τοῦ ἰέρακος ἰέρειος ἴσους ἢ ὡς τὸ μυθῶδες μᾶλλον ῥῆσαι πατὴρ ὡς τὸ σῶμα ἡ ψυχὴ· καὶ τὸ βρίθει ἐν τοῖς φησὶ ἐνίοις σοφοῖς, Χαλκίδι, Ταῦρῳ. Περιηγεῖται, Κορίνθῳ, Πειρήνῃ, Περφυρίῳ, Ψαρῷ, Λεσβίῳ, καὶ Κασσίῳ· ἐυρεῖν τὰ παιδία μὴ περιηγεῖν ἐνίοις παῖζον ἐπὶ κλίνης· ἐνεχυμβῶν ὁ παρὰ τὴν ἡ παιδὸς Σίβυλλαν, ἐμμανὴς γεγονὼς, ἐπὶ χειδίου, ἐν ἄρχῃ. Δημοσθένης παλαίστρας, Ἐν οἷς καὶ μειρακίῳ ἐπφανίτῃ αὐτὸν ἐσεσθαι ἐπὶ τὴν ἀρᾶς αὐτοῦ κεφαλὴν ἀστέρων, ἃ ναὸν κύων καλοῦσιν (τὸ πατέρα αὐτῆ) Ἐνοσίχθονα Πηγελάτην· ἰδέλαι ὃ πὸ Μοῦσαι τὸ ὃ τοῦτο παῖσαι, καὶ τῷ παιδὶ ἀνδρωθῆναι ἐξικνεῖσθαι τὸ σχῆμα. Καὶ τὸ Ποιητὴν ὅταν σημεῖον τὸ ζῶον εἰς βρῖθος ἐν συνέσεως, καὶ πυθέσθαι αὐτὸν τὸν Διὸς τῶν Ἀμβροσίαν κομίζοντα. Hinc Lux *Sophocli*, Antigon. v. 1156. Οὐδ' εἰ θέλοι Ζεὺς αἰετὸς βορὰν φέρειν τὸν ἁρπάζοντος ἐς Διὸς θρόνους. Quem locum nemo intellexisse videtur, nec ipſi *Scholiaſtæ*, qui ſicco pede præterierunt. Hunc locum plenius *Athenæus* loco prædicto diſcuſſit, à fol. 490. ad fol. 493. Et *Euſtath.* fol. 1715. lin. 24. &c. *Ptolemæus Hephæſtion*, l. 1. Διαὶ ὁ ποιητὴς Πελειάδας ἐνέπεσε τ' τροφὸς τ' ἡῶν Δημόνης· Confer *Br. Schol.* in hunc locum, & ad *Iliad.* σ'. v. 486. *Bochart.* in *Phaleg Longinum.* περὶ ὕψους, c. 30. §. 96. pag. 70. Notaque *Langbanii*, *Tollii*, &c. *Fabri* in locum.

64. Ἀλλά τε καὶ τῇ αἰεὶ ἀφαιρεῖται λὶς πέτρη) *Subaudi πτά.* Nihil *Lellio* ſ. ἀλλά τε admitteretur; quæ tamen in nullis Codd. apparet. Τὸ λὶς autem, per Ἀποκοπὴν pro λιστή.

68. Κῦμά θ' ἁλὸς φορέουσι, πυρός τ' ὀλοοῦ θύελλαι) Legendum hic omninò κῦμά θ', pro κύκθ',

Ν Ο Τ Æ Ι Ν Σ Χ Ο Λ Ι Α.

63. Οὐρᾶς Ταύρου) Quod obſervamus ad *Schol.* v. 272. *Pleiadas* malè poni ἐπὶ τ' οὐρᾶς Ταύρου, nunc iterum videmus in hoc *Scholio*, quod & MS. habet hic apertè, licet illic non item. Puto ſanè legendum utrobique Κεφ. pro Ταύρου; nam ità *Hyginus* in *Tauro*, fol. 84. Inter hujus finitorem corporis, i.e. *Tauri*, & *Arietis* caudam, ſtellæ ſunt, quas *Virgilias*, noſtri, *Graci* autem, *Pleiadas*, appellaverunt. Et ſaniores Aſtrologi *Pleiadas* ante genua *Tauri*, ad *Arietis* caudam, ponunt. Ità Verſiculus

Variæ Lectiones.

65. Ἐνέηκε) χ. ἐνίηκε, *Athena.* l. xi. fol. 492.

68. Κῦμά θ') χ. κύμα', vid. Not. in *Textum*.

Οἵη;

Οἴη δὴ κείνη γὲ παρέπλω πολυπόρθμος νῆυς,
Ἀργὼ πασιμέλουσα, παρ' Αἰήταο πλέουσα·
Καί νύ κε τὴν ὀλοὴν ἅλαδε βάλεν μεγάλας ποτὶ πέτρας,
Ἀλλ' Ἥρη παρέπεμψεν, ἐπεὶ Φίλον ἦεν Ἰήσων.
Οἱ δ' δύω σκόπελοι, ὁ μὲν ὑψηλὸν εὐρὺν ἱκάνει
Ὀξείῃ κορυφῇ, νεφέλη δέ μιν ἀμφιβέβηκε

" Sola ipſa utique præternavigavit mare-ſulcans navis,
" Argo omnibus curæ, ab Æetâ navigans:
" Et fortaſſe have ibi celeriter *ſtellas*, collidiet magnas ad petras;
" Sed Juno præterire fecit, quoniam charus erat Jaſon.
" Quod ad duo ſcopulos attinet, hic quidem altum cœlum attingit
" Acuto vertice, nubeque ipſum circumdat

Σ Χ Ο Λ Ι Α.

69. Παρέπλω.] Παρέπλεσε, παρῆλθε.

70. Πασιμέλουσα.] Ἐπίθετον τῆς Ἀργοῦς. λέγει δέ, πᾶσι ἐν ἐπιμελείᾳ εἶναι ἀφ' τὸ κλέος· ἢ πᾶσι *μέλουσα θεοῖς*. Οἴη δὴ κείνη γὲ παρέπλω πολυπόρθμος νῆυς, Ἀργὼ πασιμέλουσα.] Τυφὼ ἡ Σαλμωνέως, ἔχουσα δύο παῖδας ἐκ Ποσειδῶνος, Νηλέα τε τὸν μὲν Πελίαν, ἔγημε Κρηθέα· ἐξ ἧς παῖδας ἐξ αὐτοῦ τρεῖς, Αἴσονα, καὶ Φέρητα, καὶ Ἀμυθάονα. Αἴσονος δὲ καὶ Πολυμήλας, καθ' Ἡσίοδον, γίνεται Ἰάσων, καθὼς δ Φερεκύδης, ἐξ Ἀλκιμέδης· πλείστων δὲ ὄντων καὶ ἄλλων ἐπίτροπον τὸν ἀδελφὸν Πελίαν, ἐγχειρίσας αὐτῷ καὶ τὴν βασιλείαν, ἕως αὐξηθῇ τὸ ἐξ αὐτοῦ παιδίον. ὁ δὲ Πελίας Ἰάσονος μήτηρ Ἀλκιμέδη δόλῳ πείσας αὐτὸν πέμψαι Χείρωνι τῷ κενταύρῳ. πλησίος δὲ καὶ ἐλθὼν εἰς Ἰωλκὸν, ἀπαιτῶν τὸν πατρῷον θρόνον τὸν Πελίαν. ὁ δὲ ὑφασκεν χρῆναι αὐτὸν πρῶτον ἀξιῶσαι τὸ χρυσοῦν δέρας· λάθρᾳ Κόλχων, καὶ τὸν πυρίπνοον ἀπελάσαι ταύρους· κἀκείνος δὲ παῖς ὢν ὁ Ἰάσων, λέγει τῷ Χείρωνι, καὶ αὐτῷ ὁ Χείρων συνεπίμπτει τὸν *ἡμίθεον καλοκαγαθίᾳ δὲ ἡ Ἀθηνᾶ τὸν Ἀργὼ. πλοιοῦται δὲ ἀφικνοῦται ἐπὶ τὸ Βιθυνῶν χώρας, καὶ ἐρᾷ τὸ *Φινέα πηρὸν ἀφ' ταύτῃ τῇ αἰτίᾳ. ἔχων γὰρ παῖδας ἐκ Κλεοπάτρας τὸ *Βορέου δ ἐπιγάμους Εὐρυτίαν, διὰ δὲ αὐτὸν τῇ μητρυιᾷ ἀφαβληθέν-

N O T Æ.

quoniam infra, v. 71. Verbum *βάλει*, non niſi ab hoc *Nominativo* regi poteſt, *κῦμα βάλει*, non *κύμασι* & *θύελλαι*; ſitque per Præoccupationem, & ferè ad Ἀλκιμεδείης χάριν referatur, de quo, ad κ'. v. 513. & ſuprà ferè, ad v. 42. Hunc locum explicat *Ariſtoteles*, ἐν ἀναμαρτήτων, fol. 1190. neſcio cujus. *Pleiades* ante genu ſeptem radiare feruntur. Vid. *Servium*, in *Virgil.* Georgic. l. 1. v. 138. & Dni. *Eduardi Sherburne* Militis, in *Senecæ* Mede. §. 31. De loci ſenſu, vid. quæ Nos in *Textum*.

70. Πασιμέλουσα) In hoc *Scholio*, pro *μέλλουσα, lege *μέλουσα*: pro *Πολυμήλας, Πολυμήλας: pro *ἡμιθέης, ἡμιθέης: pro Βορείᾳ, *Βορέᾳ: pro **Φινέα, bis, & **Φινεύς, Φινέα bis, & Φινεύς: *πάϊδα, addo: pro *δὲ πλεῦσαν, ἀφαπλεῦσαν: pro *τῇ Ἀργοῖ διὸ Πλαγκτὰς πέτρας συνελθεῖν τὸ πρὸς συμπλέουσαν, ut olim legebatur, lego nunc, τῇ Ἀργοῖ ἀφ' Συμπληγάδων, ἃς αἱ πέτραι συνελθεῖν, σχεῖσαν τὸ πρὸς ἔκπλουν, συμπλέουσαν (ego συμπλέουσαν τῷ ἄκρᾳ σχεδὸν) ἑστῶσαν lego) τὴν Ἀργῶ, ἔκπλουν καθ' τὸ εὐθὺ τῇ εἰσόδῳ συμβαλεῖν. Huc refer *Apollodori* Bibliothec. l. 1. c. 9. §. 22. *Apollonii* Argonaut. l. 2. à v. 328. & *Scholiaſt.* in locum; *Hygin.* Fab. xix. *Phineus*, & *Muncher.* In locum, qui τὸ πέρας, pro σχεῖσαν, legit.

71. Οἱ δὲ δύω σκόπελοι) Pro πρὸς δύω σκοπέλους, ut *Scholiaſtes* Thucydidis, l. 1. fol. 50. §. 7. Edit. *Hudſon.* Ὁ μὲν hic, ὁ δὲ. v. 101. Τὸν δ' ἕτερον σκόπελον. Ità *Iliad.* κ'. v. 224.

N O T Æ I N S C H O L I A.

σασαν. Locus in *Aloyſii Alemanni* MSto χαλὲ corruptus, atque in *Impreſſis*, in hunc certè *Senſum* efferendus, ut *Euſtathius* fol. 474. lin. 44. Ἀπολυθέντος δὲ τοῦ πέτρας ἐκ συχνοῦ ὁ πάππος, ἀλλὰ καθ' τὸ ἐμπρόσθιον, ἐκβάλλει δὲ λοιπὸν ἀφ' τῶν Συμπληγάδων· αἱ δὲ συμβύσασαι (ego συμμύσασαι τῷ ἄκρᾳ σχεδὸν) ἑστῶσαι (ἑστώσας lego) τὴν Ἀργῶ, ἔκπλουν καθ' τὸ ἐν τῇ εἰσόδῳ σύμβολον. Huc refer *Apollodori* Bibliothec. l. 1. c. 9. §. 22. *Apollonii* Argonaut. l. 2. à v. 328. & *Scholiaſt.* in locum; *Hygin.* Fab. xix. *Phineus*, & *Muncher.* In locum, qui τὸ πέρας, pro σχεῖσαν, legit.

V A R I Æ L E C T I O N E S.

70. Πασιμέλουσα) γρ. πᾶσι μέλουσα.

73. Δύω σκόπελοι) γρ. δύο σκόπελοι. *Scholiaſt.* Thucydid. fol. 50. Edit. *Hudſon.* Vid. infrà, ad v. 75. Not. in *Textum*.

Κυανέη

Κυανέη· τὸ μὲν οὔποτ' ἐρωεῖ, οὐδέποτ' αἴθρη
Κείνῃ ἔχει κορυφὴν, οὔτ' ἐν θέρει, οὔτ' ἐν ὀπώρῃ·
Οὐδέ κεν ἀμβαίη βροτὸς ἀνὴρ, οὐ καταβαίη,
Οὐδ' εἰ οἱ χεῖρές γε εἴκοσι καὶ πόδες * εἶεν·
Πέτρη γὰρ λίς ὄφι, περιξέστῃ εἰκυῖα.
Μέσσῳ δ' ἐν σκοπέλῳ ἐπὶ σπέος ἠερόεντες
Πρὸς ζόφον, εἰς Ἔρεβος τετραμμένον· ἦχθι καὶ ὑμεῖς
Νῆα κατ' γλαφυρὴν ἰθύνετε, φαίδιμ' Ὀδυσσεῦ.
Οὐδέ κεν ἐκ νηὸς γλαφυρῆς αἰζήϊος ἀνὴρ
Τόξῳ ὀϊστεύσας κοίλον σπέος εἰσαφίκοιτο.
Ἔνθάδ' ἐνὶ Σκύλλη ναίει, δεινὸν λελακυῖα·
Τῆς ἦτοι Φωνὴ μὲν, ὅσον σκύλακος νεογιλῆς,

75 Κυανέη· τὸ μὲν] Τὸ νέφος. Τὸ μὲν ἄ κατ' ἰρωεῖ. * Σχήμασι ὡς τὸ σημαινόμενον ἀκόλουθον· ὡς γὰρ τὸ συνάντημα ἀπέστησε, τὸ ἄ κατ' ἰρωεῖ. Ἐρωεῖ.] Ἀποχωρεῖ. Αἴθρη.] Αἴθρα, αὐγή.

77. Οὐδέ κεν ἀμβαίη.] Οὐ δυνηθῇ ἀναβῆναι. Οὐδ' ἀναβαίη.] Οὐδὲ καταβῇ.

80. Σκοπέλῳ.] Ὑψηλῷ πέτρῳ. Ἠερόεντες.] Σκοτεινόν.

81. Ζόφον.] Δύσιν. Εἰς Ἔρεβος τετραμμένον.] Εἰς τὸ ὡς δύσιν μέρη νύκτος. πιθανῶς δὲ ἵνα μὴ ὡσεὶ δύντες οἱ ἑταῖροι, παύσωνται τῆς κακοπλοΐας.

82. Ἴθύνετε.] Ἐπ' εὐθείας ἄγετε.

83. Αἰζήϊος.] Νεανίας ῥωμαίος.

84. Ἀφίκοιτο.] Ἀντὶ τοῦ, καταλάβοι.

85. Σκύλλη.] Σκύλλα, Φόρκυος θυγάτηρ ἐκ Ἐκάτης. τὸ μὲν μίγμα ἀνωμαλές· ἔχει δὲ πόδας μὲν δώδεκα, κεφαλὰς δὲ ἐξ· ἐν ἑκάστῃ δὲ τριπλοῦς ὀδόντας, ὀφθαλμοὺς δὲ περιμήκεις. καὶ τὸ μὲν ἄλλο σῶμα ἐκρύπτετο αὐτῆς ἔν τινι σπηλαίῳ, κεφὰς βυθοῦ βιολεμένου, συμφυὴς ἄνω τῇ πέτρᾳ· τὰς δὲ κεφαλὰς αὐτῆς εἶχεν ἔξω ὡρμημένας, ὥστε δύνασθαι λαὶ τὰ πέτρας εἰς τὸν ταῦτα φλοιὸν. ταύτην λέγουσι τὴν Ἡρακλέα, ἀπάγειν τὰς Γηρυόνου βοῦς ἤδη, ἃς εἶδε αὐτὴν ἀπλησιονομήσασαν ἀνελεῖν· τὸν δὲ πατέρα Δία ἐκ πυρὸς ἀναφανέντα πάλιν αὐτὴν ἀναζῆσαι. ἃ δὲ ἱστορία παρὰ Διονύσῳ. Λελακυῖα.] Ἤτοι ὑλακτοῦσα· ἢ, οἰκτρὸν ἦχον ἀφιεῖσα.

86. Νεογιλῆς.] Νεογνῆς, μαλακὸν τρέφουσιν.

ΣΧΟΛΙΑ.

75. Τὸ μὲν.] Τὸ νέφος. Τὸ μὲν ἄ κατ' ἰρωεῖ. * Σχήμασι ὡς τὸ σημαινόμενον ἀκόλουθον· ὡς γὰρ τὸ συνάντημα ἀπέστησε, τὸ ἄ κατ' ἰρωεῖ. Ἐρωεῖ.] Ἀποχωρεῖ. Αἴθρη.] Αἴθρα, αὐγή.

77. Οὐδέ κεν ἀμβαίη.] Οὐ δυνηθῇ ἀναβῆναι. Οὐδ' ἀναβαίη.] Οὐδὲ καταβῇ.

80. Σκοπέλῳ.] Ὑψηλῷ πέτρῳ. Ἠερόεντες.] Σκοτεινόν.

81. Ζόφον.] Δύσιν. Εἰς Ἔρεβος τετραμμένον.] Εἰς τὸ ὡς δύσιν μέρη νύκτος. πιθανῶς δὲ ἵνα μὴ ὡσεὶ δύντες οἱ ἑταῖροι, παύσωνται τῆς κακοπλοΐας.

82. Ἴθύνετε.] Ἐπ' εὐθείας ἄγετε.

83. Αἰζήϊος.] Νεανίας ῥωμαίος.

84. Ἀφίκοιτο.] Ἀντὶ τοῦ, καταλάβοι.

" Et mortales homines, super fertilem terram:
" Horum autem ego brevi navem celerem candenti fulmine

ΣΧΟΛΙΑ.

369. Ἀμφ' ἤλυθεν.] Περιῆλθεν.
374. Ὠκέα δ' Ἠελίῳ.] Πῶς ὁ πάντα ἐφορῶν, οὗτος οἷόν τε πάντα; ἐρᾷ, φησὶν, ὃς ἐκ τοῦ αὐτοῦ.
378. Τίσατ.] Τιμωρήσατε.
380 Χαίρεσκον.] Ἔχαιρον.
381. Προταπροίμην.] Μεταβάλοιμι, ἀπελίνω.
382. Τίσατ.] Ἀποδώσετε. Ἀμοιβῇ.] Τιμωρίᾳ. Ἐπιείκεϊ.] Προσήκοντι.
383. Δύσομαι.] Ἀπολύσομαι. Φαείνω.] Φανῶ, λάμψω.
387. Ἀργῆτι.] Λευκῷ, ἢ πφραώδει.

NOTÆ.

369. Ἠδὺς ἀὐτμὴ) Sic ε'. v. 467. Ἥλυε ἱερὸν. Sic δ'. v. 709. πυλὼν ἰφ' ὑψηρὸν. Sic Hymn. *Mercur.* v. 110. αὐτὰρ ὁ' ἄμπνυθ' ἱερὸς ἀὐτμὴ. Quod imitatur *Hesiod.* Theogon. v. 696. τοῦδ' ἄμφιτε ἱερὸς ἀὐτμὴ. Ità κλυτὸς Ἰπποδάμεια, ὅπα χάλκεον, ἅλις πολιῆς, ἁλεύατος ἐδωδὴ. & similia, quæ referuntur ad *Atticismum*. Quanquam nec dissimulandum, quod hoc saltem loco legi possit, ἡδὺς ἀὔτμὴ. Quam vocem reperies, *Iliad.* ψ'. v. 765. Κάδδ' ἄρα οἱ κεφαλῆς καὶ ἀὔτμητον δῖος Ὀδυσσεύς. Item *Odyss.* γ'. v. 289. Ἐφεσσάσθω λιγέως δ' ἀνίμων ἐπ' ἀὔτμῇ χεύ-

372. Κυμήσασι) Ità legit *Florentina*, Editio, *Aldina*, *Levaniana*, *Eustathius* fol. 494. lin. 32. Ὅτι ὁ ἐπὶ βλαβῇ κοιμηθεὶς, ἐρεῖ ἂν τὸ, Ἦ μα μάλ' εἰς ἄτην κοιμήσατε νηλεῖ ὕπνῳ. Ità denique *Severus*, in *Indice*, & omnes *Vett. Henricus Stephanus* ex *Basileensi*, κοιμήσασι, cum simplici σ'. perlimè; quod queror ad *Iliad.* κ'. v. 524. Alias, omninò κοιμήσασι scriberetur, ut mox, v. 373. ἐμηδήσαντο.
373. Ἐμηδήσαντο) Ità scribo, rejecto ad *Var. Lect.* τὸ ἐμηδήσαντο, quonodò μηδήσασθαι rectè scribitur *Iliad.* γ'. v. 416. & ε'. v. 349. Vid. ad Versum 372.

VARIÆ LECTIONES.

369. Ἠδὺς ἀὐτμὴ) γρ. ἡδὺς ἀὔτμὴν, vid. Not. in *Textum*.
372. Κυμήσασι) γρ. κοιμήσασι, vid. N. in *Textum*.
378. Τίσατ) γρ. τίσετ, & ἀποδώσετε. *Severo*, in *Indice*, malè. Ita mox, ν'. v. 193. ἀπτίσατε.

Τυτθὰ

Τυτθὰ βαλὼν κεάσαιμι, μέσῳ δὲ οἴνοπι πόντῳ.
Ταῦτα δ' ἐγὼν ἤκουσα Καλυψοῦς ἠυκόμοιο·
Ἠδ' ἔφη Ἑρμείαο διαμπερὲς αὐτὴ ἀκοῦσαι.
Αὐτὰρ ἐπεὶ ῥ' ἐπὶ νῆα κατήλυθον ἠδὲ θάλασσαν,
Νείκεον ἄλλοθεν ἄλλον ἐπιφραδὲς, οὐδέ τι μῆχος
Εὑρέμεναι δυνάμεσθα· βόες δ' ἀποτέθνασαν ἤδη.
Τῶσιν δ' αὐτίκ' ἔπειτα θεοὶ τέρα θωΰφαινον·
Εἶρπον μὲν ῥινοὶ, κρέα δ' ἀμφ' ὀβελοῖς ἐμεμύκει,
Ὀπταλέα τε καὶ ὠμά· βοῶν δ' ὡς γίνετο φωνή.
Ἓξ ἦμαρ μὲν ἔπειτα ἐμοὶ ἑρίηρες ἑταῖροι
Δαίνυντ', Ἠελίοιο βοῶν ἐλάσαντες ἀρίστας·
Ἀλλ' ὅτ' ἄρ' ἕβδομον ἦμαρ ἐπὶ Ζεὺς ἦγε Κρονίων,
Καὶ τότ' ἔπειτ' ἄνεμος μὲ ἐταύσατο λαίλαπι θύων·
Ἡμεῖς δ' αἶψ' ἀναβάντες σὺν ἅμμιν εὐρεῖ πόντῳ,
Ἱστὸν στησάμενοι, ἀτὰ θ' ἱστία λεύκ' ἐρύσαντες.
Ἀλλ' ὅτε δὴ τὴν νῆσον ἐλείπομεν, οὐδέ τις ἄλλη
Φαίνετο γαιάων, ἀλλ' οὐρανὸς, ἠδὲ θάλασσα,
Δὴ τότε κυανέην νεφέλην ἔστησε Κρονίων
Νηὸς ὕπερ γλαφυρῆς· ἤχλυσε δ' ὑπ' αὐτῆς.

" Paululum pulsatam diffindam medio in nigro ponto.
Hæc ego audivi à Calypso pulchricoma,
Illaque dicebat à Mercurio internuncio se audivisse.
Cæterum postquam ad navem perveni atque mare,
Objurgabant alicunde alium ordine; neque remedium
Invenire potuimus; boves enim occisi erant jam.
His continuò deinde dii prodigia ostendebant:
Serpebant quidem pelles, carnesque ab verubus immugiebant,
Allataque & cruda, boumque vox erat vox.
Sex diebus quidem deinde mihi chari socii
Convivabantur, Solis boves mactantes optimos:
Sed quando utique septimum diem Jupiter induxit Saturnius,
Tum ventus quidem cessavit turbine sæviens:
Nos autem statim conscendentes commisimus nosmet lato mari,
Malo erecto, atque ad malum albis velis collocatis.
Sed quando jam insulam deseruimus, neque usquam amplius
Apparebat terrarum, sed cælum atque mare.
Jam tum cæruleam nebulam statuit Saturnius
Navim supra cavam; obscuratusque pontus est sub ipsâ.

ΣΧΟΛΙΑ.

388. Κεάσιμι.] Σχίσιμι, ἢ καύσιμι.
391. Κατήλυθον.] Κατῆλθον, παρεληλύθεμεν.
392. Νείκεον.] Ἐγκωλόγουν. Ἐπιφραδὲς.] Ἔφεσιν ποιῶν.
393. Δαιδόμεσθα.] Ἐδαιτυόμεθα. Ἀποτέθνασαν.] Ἀποθανόντες ἦσαν.
394. Τέρα.] Σημεῖα. Θωΰφαινον.] Περιεκόμισον, ἐδίδουν.
395. Εἶρπον.] Ἐκινοῦντο, ἐβάδιζον. Ἐμεμύκει.] Μυκηθμοῦ ἔμφασιν ἦχος ἀπετέλει.
397. Ἓξ ἦμαρ.] Ἐπὶ ἓξ ἡμέρας.
398. Ἐλαάσαντες.] Ἀπελάσαντες.
401. Ἐυρεῖ πόντῳ.] Εὐρυβάθει πόντῳ.
406. Ἤχλυσε.] Ἀχλὺν καὶ σκότον * ἐπεσκότιζε, ἐπλήρου.

NOTÆ.

389. Ταῦτα δ' ἐγὼν ἄκουσα καλυψοῦς) Τῷ πιθάνῳ consulit Poeta; quomodò enim alias *Ulysses* Deorum confabulationes noverit? *Eustath.* fol. 496. lin. 41. Ἰσέον δὲ, ὡς ἐν ταῖς μυθικαῖς ὁ Ποιητὴς, ἐπεισάκτῳ δὲ λόγῳ ἐπαύξει τὸν ἀκροατὴν, ὡς ἱερῶσί τινες, πόθεν Ὀδυσσεὺς ἐπίσταται, λέγει τὰ κατὰ τὸν Ἥλιον καὶ τὰ Δίκα, εἰς αὐτὸς ὁ παρέσχεν; τὰ μὲν μῦθον οὐκ ἀναπτύσσει, τὸ δὲ λογεύμενον ἀπίθανον ἡγεμονεύει, λύει, εἰπὼν· Ὀδυσσεὺς ἔφης, Ταῦτα δ' ἐγὼν ἄκουσα Καλυψοῦς.
392. Μῆχος) *Pindari* Scholiastes, Edit. *Oxon.* fol. 24. μήχαρ legit, quæ Vox *Æschylo* & *Lycophroni*, in usu; ut altera, *Anacreonti*, v. 542. Τί μῆχος ἔτι γένηται; & *Hesych.* Μῆχος, Μηχανή. Qui tamen idem. Μῆχαρ) Μηχάνημα. ὄφελος. *Iliad.* β'. v. 342. Οὐδέ τι μῆχος ἐυρεσθαι ἀνωΐστεσσι. Vid. *Suidam* & *Etymolog.* M. in v.
396. Ὀπταλέα τε καὶ ὠμά) *Ultima* ᾰ ὀπταλέα, in *Cæsurâ* producitur; quomodo Πὰν ἔτλη τι, καὶ ἐπὶ, *Iliad.* υ'. v. 255. ut ad β'. v. 41. &c.
401. Ἀναβάντες σὺν ἅμμιν εὐρεῖ πόντῳ) Ὑπακουστέον, τὴν νῆν. Sic suprà, v. 293.
403. Ἀλλ' ὅτε δὴ τὴν νῆσον ἐλείπομεν, οὐδέ τις ἄλλη) *Virgil.* Æn. l. 3. v. 193. *Postquam alium tenuêre Rates; nec jam amplius ulla Apparent terræ, &c.* Item, l. 5. v. 8. Vid. *Macrob.* l. 5. c. 6, 7.

VARIÆ LECTIONES.

392. Μῆχος) γρ. μήχαρ. vid. Not. in *Textum.*
395. Ἐμεμύκει) γρ. ἐμύκοντο. *H. Steph.* malè.
398. Ἐλαάσαντες) γρ. ἐλάσαντες. *H. Steph.*
401. Ἀναβάντες) γρ. ἀμβάντες, ut suprà, v. 293.

Ἡ δ' ἴθῃ ἠΰ μάλα πολλὸν ἐπὶ χρόνον· αἶψα γὰρ ἦλθε
Κεκλήγων Ζέφυρος, μεγάλῃ σὺν λαίλαπι θύων·
Ἴστὸν δὴ ῥαγέντες ἔρρηξ' ἀνέμοιο θύελλα
Ἀμφοτέρους· ἰφὶ δ' ὀπίσω πέσεν, ὅπλα τὲ πάντα
Εἰς ἄντλον κατέχυθ'· ὁ δ' ἄρα πρύμνῃ ἐνὶ νηῒ
Πλῆξε κυβερνήτεω κεφαλῇ, σὺν δ' ὀστέ' ἄραξε
Πάντ' ἄμυδις κεφαλῆς· ὁ δ' ἄρ' ὀρθοτάτῃσι ἐοικὼς
Κάββαθ' ἀπ' ἰκριόφιν, λίπε δ' ὀστέα θυμὸς ἀγήνωρ·
Ζεὺς δ' ἄμυδις βρόντησε, καὶ ἔμβαλε νηῒ κεραυνόν·
Ἡ δ' ἐλελίχθη πᾶσα, Διὸς πληγεῖσα κεραυνῷ,
Ἐν δὲ θεείου πλῆτο· πέσον δ' ἐκ νηὸς ἑταῖροι.
Οἱ δὲ κορώνῃσιν ἴκελοι περὶ νῆα μέλαιναι
Κύμασιν ἐμφορέοντο· θεὸς δ' ὀπάπαινλο νόστον.
Αὐτὰρ ἐγὼ διὰ νηὸς ἐφοίτων, ὄφρ' ἀπὸ τοίχων
Λῦσε κλύδων τρόπις· τὴν δ' ψιλὴν φέρε κῦμα.
Ἐκ δέ οἱ ἱστὸν ἔαξε ποτὶ τρόπιν· αὐτὰρ ἐπ' αὐτῷ
Ἐπίτονον βέβληο, βοὸς ῥινοῖο τετυχώς.

Et illa currebat haud sanè multum per tempus; statim enim irruit
Stridens Zephyrus ingenti cum turbine sævions;
Mali quidem rudentes rupit venti procella
Utrosque; malus autem retrò cecidit, armamentaque omnia
In sentinam deciderunt; ipseque retrorsum in navi
Percussit gubernatoris caput, ossaque contrexit
Omnia uno impetu capitis; ipse itaque urinatori similis
Decidit a tabulatis deseruitque ossa animus generosus:
Jupiter autem simul intonuit, & injecit fulmen navi;
Ipsa itaque contorquebatur tota, Jovis percussa fulmine;
Sulphureque implebatur; ceciderunt verò ex navi socii.
Illi adeò marinis cornicibus similes circa navem nigram
In fluctibus ferebantur; deus etenim abitionis reditum.
Caterùm ego per navim incedebam; donec latera
Solvebat vis tempestatis à carinâ, quam ferebat fluctus.
Evulsum enim malum fregit usque ad carinam; caterum super ipsum
Lorum revinctum erat, bovis corio factum:

ΣΧΟΛΙΑ.

407. Ἔβλ.] Ἔπεσεν.
408. Κεκληγὼς.] Μεγάλως πνεύσαν.
409. Πορτύνας] Τὰ ἱστία, τὰ κατέχοντα τὴν ἰσθμόν.
411. Ἄντλον.] Τὴν ἀντλίαν, εἰς ἣν ἐγχύεται τὸ καταζόμενον εἰς τὴν ναῦν ὕδωρ. Κατέχυτο.] Ἀθρόως ἔπεσεν.
412. Ἄραξε] Συνέτριψεν.
413. Ἀρίστῃσι.] Κυβερνήτῃ, ἀρχιτῇ.
414. Ἀπ' ἰκριόφιν.] Τῶν σανιδωμάτων.
416. Ἐλελίχθη.] Συνεστάλη.
417. Θείου.] Θείου. Καθαρίφει ὃ εἰς τὸ πυρὸς κεραυνίου.
419. Ἀποκίνητο.] Ἀφηρεῖτο.
420. Ἐφοίτων.] Περιῆμεν.
421. Λῦσε.] Διέλυσε. Κλύδων.] Ὁ τὴν θαλάσσης ταράχος. Τρόπις] Τρόπις, τὸ κατάπαχυ ξύλον. τὴν δ' χιζοῦ τὸ κῦμα. Ψιλὴν.] Μόνην, καθ' ἑαυτήν.
423. Ἐπίτονον.] Ἰμὰς, ὅτι ὁ τὸ κεράτων δισμός· ἢ ὁ ἱμὰς, ὁ τοῖς ἄκροις τῆς ἰσφὶ, δι' ὃ τὸ κέρμιον κινίσσεται. Βέβληο.] Ἔπηξαι. Ῥινοῖο τετυχώς.] Καταπεδαθείς.

NOTÆ.

411. Πρύμνῃ, σὺν νηΐ) Cùm *Gubernatoris* locus sit in *Proræ*, non in *Puppi*, Navis, necessùm putabam hoc in loco. πρύμνη *Adverbialiter* capere, & à voce νηΐ distinguere: quare expono *retrorsum*; de quâ significatione, vid. quæ Nos ad *Euripid. Andromach.* v. 1120. Vid *Eustath* fol. 498. lin. 15. Καθὰ καὶ σχίμνον φησὶν, ἐσθίσας) κυβερνήτης, πρόμνα ὃ διοικητοῦντα ὁ πρωρεύς.
412. Ἀμυδὶς) De hâc voce, vid. *Etymolog.* M. v. *Ibid.* Ὁ δὲ ἀφυδίτῃ ἐοικὼς Κάππισε· ἀπ' ἰκριόφιν) *Virgil.* Æn. l. 1. v. 119. ——*excutitur, pronusque*

NOTÆ IN SCHOLIA.

423. Ἐπίτονον) *Eustath.* fol. 498. lin. 44. Ἰσέον ὃ, ὅτι ἐπίτονον λέγεται, ἰμὰς ἀνίλκων τὸ κέρας ὑψῦ ἐπὶ τὸν ἐπίτονον βέβληται, ἰμὰς ἀνίλκων τὸ κέρας ὑψῦ ἐπὶ τὸν ἐπίτονον βέβληται, βοὸς ῥινοῦ τετυχώς) Si verba, quæ hæc *Magister V Ivitur in caput.*
418. Οἱ ὃ κορώνῃσιν ἴκελοι) Τὸ κορώνῃσιν *Ultimam* producit, in *Cæsurâ*. vi Finalis, ex *Hiatu* & *Tono* sequenti; nam ἴκελοι non rectè *Asperatur*: quùm fiat pro εἴκελοι, ab εἴκω. Κορώνῃσιν) Ἔλεγε δέ φησιν ὁ Ἀπίων, τὸ ζῶον τοῦτο τῇ κοτίλῃ τῇ Λιβύῃ, καὶ τῇ Αἰθιοπίᾳ. *Etymolog.* M. v. Κορώνη.
423. Ἐπίτονον) *Isibrachys*, pro *Dactylo*, vel *Spondæo*, Vox *trium*, pro Voce *quatuor*, temporum; unde Ἀκέφαλον vocant, quod in *Principio* Versûs claudicet, ut *Iliad.* Ψ. v. 2. Ἐπειὴ πᾶς τις, ἓ Ἑλ-

VARIÆ LECTIONES.

423. Ἐπίτονον βεβλῆθ', βοὸς ῥινοῦ τετυχώς) *al.* ἐπίτονον πεπάνται βοὸς ἴφι κεκμηότος, *Athenæ.* vid. Not. in *Textum.*

Τοῦ

Τῷ ῥ' ἄμφω σύνεργον ὁμῶ πρόπαν, ἠδὲ χ' ἱκάνω·
Ἐξόμβους δ' ἐπὶ τοῖς, φερόμην ὀλοοῖς ἀνέμοισιν.
Ἔνθ' ἦτοι Ζέφυρος μὲν ἐπαύσατο λαίλαπι θύων·
Ἦλθε δ' ἐπὶ Νότος ὦκα, φέρων ἐμῷ ἄλγεα θυμῷ,
Ὄφρ' ἔτι τὼ ὀλοὼ ἀναμοχθίσαιμι Χάρυβδιν.
Παννύχιος φερόμην· ἅμα δ' ἠελίῳ ἀνιόντι
Ἦλθον ἐπὶ Σκύλλης σκόπελον, δεινήν τε Χάρυβδιν.
Ἡ μὲν ἀνερρόφεε θαλάσσης ἁλμυρὸν ὕδωρ·
Αὐτὰρ ἐγὼ πρὸ μακρὸν ἐρινεὸν ὑψόσ' ἀερθείς,
Τῷ ῥα σοφὼς ἐχόμην, ὡς νυκτερὶς, ἠδέ τοι εἶχον
Οὔτε στηρίξαι ποσὶν ἔμπεδον, οὔτ' ἐπιβῆναι.
Ῥίζαι γὼ ἐκὰς ἦσαν, ἀπήωροι δ' ἔσαν ὄζοι,
Μακροί τε, μεγάλοι τε, καλυκόπιδες δὲ Χάρυβδιν.
Νωλεμέως δ' ἐχόμην, ὄφρ' ἐξεμέσσεν ὀπίσω
Ἱστὸν καὶ τρόπιν αὖτις· ἐελδομένῳ δέ μοι ἦλθεν
Ὄψ'· ἡμόσθ' ἐπὶ δόρπον ἀνὴρ ἀγορῆθεν ἀνέστη,
Κρίνων νείκεα πολλὰ δικαζομένων αἰζηῶν,
Τῆμος δὴ τάγε δοῦρα Χαρύβδιος ἐξεφαάνθη.
Ἦκα δ' ἐγὼ καθύπερθε πόδας καὶ χεῖρε φέρεσθαι,

Hoc utrunque collegavi pariter carinam atque ceram malum;
Sedensque super hæc ferebar pernicioſis ventis.
Tum certe Zephyrus quidem ceſſavit turbine ſæviens;
Supervenit autem Notus celeritèr, ferens meo dolores animo;
Ut amplius pernicioſim remetirer Charybdim.
Totâ nocte ferebar: ſimul autem ſole oriente
Veni ad Scyllæ ſcopulum, horrendamque Charybdim.
Hæc quidem abſorpſit maris ſalſam aquam;
Cæterum ego ad altam caprificum alte levatus,
Huic implicitus tenebar, veluti veſpertilio; neque uſpiam potui
Neque ſtabilire pedem firmiter, neque aſcendere.
Radices enim longe erant, diſtanteſque erant rami,
Longique ingenteſque, obumbrabantque Charybdim.
Indeſinenter verò tenebam, donec evomeret retrorſum
Malum, & carinam denuò; cupiemi autem mihi advenit
Tandem; quam ſero ad prandium judex è foro ſurgit,
Judicans lites multas litigantium juvenum,
Tam ſero utique hæc ligna ex Charybdi apparebant.
Demiſi ego deſuper pedes & manus, ut poſſem ferri;

ΣΧΟΛΙΑ.

424. Συνέργον.] Συνεδέσμων.
426. * Θόων.] Ὀρμῶν.
428. Ἀναμοχθίσαιμι.] Διέλθοιμι, παρέλθω.
429. Ἀνιόντι.] Ἀνίσχοντι, ἀνατέλλοντι.
433. Νυκτερὶς.] Νυκτερίς. Νυκτερίς.] Εἶδος ὄρνιθος.
434. Στηρίξαι.] Στῆναι ἀσφαλῶς.
435. Εἶχον.] Ἀντὶ τοῦ, ἐσχόμην. Ἀπήωροι.] Ἄπωθεν. Λέγουσιν ἔχρῆν. Vid. *Athenæ.* l. 4. c. 8. fol. 632. ubi hic Verſus videtur laudari, longè tamen Diverſâ *Lectione*, quod Notandum, Ἐπὶ τοῦ πρόσω βαὶς ἵνα κωμῳδοῖτο. Vid. infrà, v. 427. & ad φ'. v. 25.
427. Ἦλθε δ' ἐπὶ Νότος) Præter *Tmeſin*, notandum, *Ultimam* τοῦ ἐπὶ produci, in *Cæſurâ*, vi *Toni*, & *Liquidæ* ſequentis; quanquam & *Tribrachys* in *Secundo* etiam loco ſtare poſſit, ut modò in *Primo*, v. 423. æquè atque *Iambus*, de quâ re diximus, ad β'. v. 41.
433. Νυκτερὶς) Vid. ad ω'. v. 6.
435. Ἦσαν) *Euſtath.* fol. 498. lin. 37. legit εἶχον, ἃ ἔνιοι. *Br. Schol.* εἶχον, agnoſcunt, Editio *Florentin. Aldin. Lovan. Reſcti*, εἶχον, omnes. & *H. Steph.* Puto tamen, uti ſit, hanc *Lectionem*, ex tertio ſuperiùs Verſu ortam.

NOTÆ IN SCHOLIA.

præcedunt, τοῦ Παλαιοῦ putes, tum hoc ipſum *Scholion* tangit; ſin hæc, quæ profero, nihil ejuſmodi inibi reperitur.

426. * Θόων &c.) Ita, pro θοῦς, quod obtinebat olim.
439. * Ἐπὶ τοῦ &c.) Τὸ ἐπὶ, ex *Aloyſio Alemanno*, addo.

VARIÆ LECTIONES.

435. Ῥίζαι) γρ. ῥίζαι. *Ibid.* Ἦσαν) γρ. εἶχον, vid. Not. in *Textum*.

Μέσῳ

Μέσῳ δ' ἐνδούπησα παρὲξ ἐξεμάσσεα δῆρα,
Ἑζόμην δ' ἐπὶ τοῖσι διήρεσα χερσὶν ἐμῇσι.
Σκύλλην δ' οὐκ εἴα ἐπιδέρκεσθαι πατὴρ ἀνδρῶν τε θεῶν τε
Εἰσιδέειν· ὃ γάρ κεν ὑπέκφυγον αἰπὺν ὄλεθρον.
Ἔνθεν δ' ἐννῆμαρ φερόμην· δεκάτῃ δέ με νυκτὶ
Νῆσον ἐς Ὠγυγίην πέλασαν θεοί· ἔνθα Καλυψὼ
Ναίει ἐϋπλόκαμος, δεινὴ θεὸς αὐδήεσσα,
Ἥ μ' ἐφίλησ' τ', ἐκόμησέ τε. Τί τοι τάδε μυθολογεύω;
Ἤδη γάρ τοι χθιζὸς ἐμυθεόμην σὺν οἴκῳ
Σοί τε καὶ ἰφθίμῃ ἀλόχῳ· ἐχθρὸν δέ μοι ἐστὶν,
Αὖτις ἀείζηλος εἰρημένα μυθολογεύειν.

Medio autem cum-ſonitu-cecidi circa oblonga ligna,
Sedenſque ſuper hæc remigavi manibus meis.
Scyllam autem non amplius permiſit pater hominumque deorumque
Aſpicere me; dein enim effugere potuiſſem ſævam mortem.
Hinc itaque novem diebus ferebar: decima autem me nocte
Inſulam in Ogygiam appulerunt dii, ubi Calypto
Habitabat pulchricoma, veneranda dea vocalis;
Quæ me amavitque fovitque? Quid tibi hæc dicam?
Jam enim heri enarravi in domo
Tibique & caſtæ uxori: moleſtum autem mihi eſt
Rurſus planè enarrata recenſere.

ΣΧΟΛΙΑ.

443. Δύπησα.] Πεσὼν ψόφον ἀπετέλεσα. Παρὲξ ἐξεμάσσεα δῆρα.] Τὸ ὅλον, ἐξεὶ τὰ *μακρὰ ξύλα.
444. Διήρεσα.] Ἀποπαπίμῳ ταῖς χερσὶ τὸ ὕδωρ· ἔστιν δὲ κώπας, ταῖς χερσί μου διανύεμον.
446. Εἰσιδέειν.] Ἰδεῖν, συνοχεῖν.
447. Δεκάτῃ δέ με,] Οὐ δεῖ ζητεῖν, πῶς ἀφικνεῖτο ὁ ἥρως, εἰπόντος τοῦ Ἀθηνᾶς, Αὐτὰρ ἐγὼ θεός εἰμι, ἀθάνατός τε καὶ ἀγήρως· ἀλλὰ σὲ φυλάσσω Ἐν πάντεσσι πόνοισι.
450. Ἐφίλησ'.] Φιλικῶς διελέχθη. Ἐκόμησ'.] Ἐπιμελείας ἄξιον. Μυθολογέω.] Διηγοῦμαι.
453. Ἀείζηλος.] Ἐκθλὸς. Εἰρημένα.] Τὰ ὑπὸ ῥαθυμίας.

NOTÆ.

444. Διήρεσα) Vid. *Etymolog.* M. v.
445. Ἔασε) Pro ἔασεν ſcribendum, ob *Metrum*, ut pluries paſſim oſtendo.
447. Ἐννῆμαρ φερόμην) Quomodò *Ulyſſes* per novem dies durare inſomnis, impaſſus, potuit? Huic Quæſtioni reſpondetur, ad ε'. v. 252. Vid. *Br. Schol.*
449. Αὐδήεσσα) De *Lectione* & αὐδήεσσα, *Euſtath.* fol. 496. lin. 45. Δῆλον δ' ἐκ τούτου, ὅτι τὸ ἡ Καλυψὼ, καὶ ὅσα κατ' αὐτὴν αὐδήεσσα, οὐκ εἴδωλόν τι ἦν, εἰ μήτις ἐκεῖθεν ἀλλοῦ πόθεν εἴκοι. & Nos, ad ε'. v. 334.

NOTÆ IN SCHOLIA.

443. * *Μακρὰ*) Ita, pro μικρὰ, ſcribo, quòd ſit ἐξεμάσσεα illud, non hoc; & in hoc nobis conſentit MS. *Aloyſii*.

VARIÆ LECTIONES.

443. Ἐνδύπησα) γρ. ἐν δύπησα, *Br. Schol.* *Ibid.* Παρὲξ) γρ. παρὲξ, & παρ' ἔξ.
446. Εἰσιδέειν· ἃ γάρ κεν) γρ. εἰσιδέειν μ'· ἃ γὰρ κεν.
448. Πέλασαν) γρ. ἔβησαν, *H. Steph.*
449. Αὐδήεσσα) γρ. ἀδήεσσα, vid. Not. in *Textum*.
453. Αὖτις) γρ. αὖθις, ut ſæpè aliàs.

ΤΗΣ

ΤΟΥ ΟΜΗΡΟΥ

ΟΔΥΣΣΕΙΑΣ

ΡΑΨΩΙΔΙΑ, ἢ ΓΡΑΜΜΑ, Ν'.

Ὑπόθεσις τῆς ῥαψῳδίας Ν'.

Κοιμῶνται Ὀδυσσέα, μὴ τὸν ὄλεσαν, ἐκπλήσσουσι οἱ Φαίακες εἰς τὴν γῆν τὴν Ἰθακησίων· καὶ τὴν μὲν ναῦν αὐτῶν ὑποτρέψασαν, λίθον ποιεῖ Ποσειδῶν· Ἀθηνᾶ δὲ ἐπὶ τῷ αἰχμαλώτῳ Ὀδυσσεῖ συμβουλεύει τὰ μυστηροφανίας· καὶ τὰ χρήματα ἐν τῷ σπηλαίῳ ἀποκρύπτει, καὶ εἰς γέροντα μεταμορφοῖ τὸν Ὀδυσσέα.

Ἐπιγραφή.

Ὀδυσσεὺς λείπεται παρὰ Φαιάκων, καὶ ἄφιξις εἰς Ἰθάκην.

Ἄλλως.

Νῦ. Ἰθάκης ἐπέβη. Φαίακων πεμπτῇ Ὀδυσσεύς. Lib. XIII.

Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ,
Κηληθμῷ δ' ἔσχοντο κατὰ μέγαρα σκιόεντα.
Τὸν δ' αὖτ' Ἀλκίνοος ἀπαμείβετο, φώνησέν τε,
Ὦ Ὀδυσεῦ, ἐπεὶ ἵκου ἐμὸν ποτὶ χαλκοβατὲς δῶ
Ὑψερεφὲς, τῷ σ' οὔπω παλιμπλαγχθέντα γ' οἴω
Ἀφ' ἁπανσχήσειν, εἰ καὶ μάλα πολλὰ πέποσθας.
Ὑμέων δ' ἀνδρὶ ἑκάστῳ ἐφιέμενος τάδε εἴρω,
Ὅσσοι δὴ μεγάροισι γερούσιον αἴθοπα οἶνον

SIC dixit, illique omnes taciti facti sunt silentio,
Oblectationeque tenebantur per domus umbrosas.
Huic vicissim Alcinous respondit dixitque,
" O Ulysses, quandoquidem venisti meam ad æratam domum
" Altam, ideò te non cum repulsu puto
" Rediturum, & si valdè multa tulisti,
" Vestrùm præterea viro unicuique prompto animo hæc dico,
" Quicunque in atriis senatorium, nitidum, vinum

ΣΧΟΛΙΑ.

1. Κηληθμῷ.] Τῇ δὲ ἀκοῇ ἡδονῇ, θέλξει, πρέψει· κήλησις γάρ ἐστι, ἡ δὲ ᾠδὴ πρέψις, καὶ ἡδονή. Οἷον χαλάσεώς τις οὖσα.

4. Ἵκου.] Παρετάξατο. Χαλκοβατές.] Ὅτι χαλκᾶν ἔδαφος ἔχει· ἢ χαλκοῦς ἔχει τοὺς βαθμοὺς τῶν θυρῶν.

5. Παλιμπλαγχθέντα.] Ὀπισθόρμητον χειμῶνι.

6. Ἀποσχήσειν.] Ἐπαυλίσασθαι.

7. Ἐφιέμενος.] Ἐναλλασσόμενος, ἐπιπλέκων. Ἐφιέμενος τάδε εἴρω.] Μετὰ σοφισμοῦ τάδε λέγω.

8. Γερούσιον.] Τὸν τοῖς ἐπιτηδείοις διδόμενον.

NOTÆ.

V. 1. Ἀκὴν ἰζάνοσθ σιωπῇ) Ἀκὴν hic *Adverbium*, ut aliàs. *Iliad.* δ'. v. 419. ἀκὴν ἴσαν. silentèr ibant; est & ἀκὴν εἰμὶ, ut *Odyss.* β'. v. 82. ἀκὴν ἔσαν. Est ἀκέων quoque nunc *Adverbialiter* positum, ut *Odyss.* φ'. v. 89. Ἀλλ' ἀκέων δαίνυσθε καθήμενοι. & *Iliad.* δ'. v. 22. Ἧστο Ἀθηναίη ἀκέουσ' ὅπ. Nonnunquam *Adjectivè* sumitur, ut *Iliad.* α'. v. 565. Ἀλλ' ἀκέοντα κάθησο.

5. Ὑψερεφὲς) Malè in nonnullis ὑψιρεφὲς, ut aliàs queror. ad *Iliad.* ε'. v. 213.

NOTÆ IN SCHOLIA.

V. 2. Κηληθμῷ) Hoc *Scholion* ex *Aloysiano* MSto emendavi, ordinavi, & supplevi. Vid. *Hesych.* & *Etymolog.* M. in v. *Suidam*, v. Κήλησις, &c.

VARIÆ LECTIONES.

V. 4. Ἵκου) γρ. ἵκες.

5. Ὑψερεφὲς) γρ. ὑψιρεφὲς, vid. N. in *Textum*.

Αἰεὶ πίνετ' ἐμοῖσιν, ἀκουάζεσθε δ' ἀοιδοῦ.
Εἵματα μὲν δὴ ξείνῳ ἐϋξέστη σὺν χηλῷ
Κεῖται, καὶ χρυσὸς πολυδαίδαλος, ἄλλα τε πάντα
Δῶρ', ὅσα Φαίηκων βουληφόροι ὧδ' ἔνεικαν·
Ἀλλ' ἄγε οἱ δῶμεν τρίποδα μέγαν, ἠδὲ λέβητα,
Ἀνδρακάς· ἡμεῖς δ' αὖτις ἀγειρόμενοι κατὰ δῆμον
Τισόμεθ'· ἀργαλέον γὰρ ἑνὶ προτὶ ἕκαστα φέρεσθαι.
Ὣς ἔφαθ' Ἀλκίνοος· τοῖσιν δ' ὀπίνδανε μῦθος.
Οἱ μὲν ἔπειτ' ἀλεγεινὰ ἰόντες εἶσαν ἕκαστος.
Ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠώς,
Νῆ' ἄρ' ἐπεσταμένως, φέρον δ' εὐήνορα χαλκόν.
Καὶ τὰ μὲν εὖ κατέθηκε θεὸν μέγα Ἀλκινόοιο,
Αὐτὸς ἰὼν ἄφαρ νηὸς ἔπαρ ζυγά, μή πῃ ἑταίρων
Βλάπτοι ἐλαυνόντων, ὁπότε σπέρχοιατ' ἐρετμοῖς.
Οἱ δ' εἰς Ἀλκινόοιο ἴσαν, κατὰ δαῖτ' ἀλέγυνον.
Τοῖσι δὲ ῥηξήνωρ ἱερεύσατο θεῖος ἀοιδὸς
Ζηνὶ κελαινεφέϊ Κρονίδῃ, ὃς πᾶσιν ἀνάσσει.
Μηρὰ δὲ κείαντες δαίνυν' ἐρικυδέα δαῖτα
Τερπόμενοι· μετὰ δὲ σφιν ἐμέλπετο θεῖος ἀοιδὸς

" Semper bibicis meis, audisque canorem:
" Vestes quidem jam hospiti politâ in arcâ
" Jacent, & aurum arte laboratum, aliaque omnia
" Dona, quæcunque Phæacum senatores huc attulerunt:
" Verùm agè ei demus tripodem magnum, & lebetem,
" Viritim; nos autem rursus colligentes per populum
" Remunerabimur: grave enim uni fuerit tantâ largitionem præbere.
Sic dixit Alcinous; his verò placuit sermo.
Illi quidem dormituri iverunt domum unusquisque.
Quando autem matutina apparuit roseis-digitis aurora,
Ad navem properabant, ferebantque viros-honestans æs:
Et hæc quidem benè deposuit sacris vis Alcinoi,
Ipse iens per navem sub transtris, nè aliquem sociorum
Læderet impellentium, quando incumberent remis.
Hi autem ad Alcinoi *domum* iverunt, & convivium curaverunt.
Horumque gratiâ bovem mactavit sacra potestas Alcinoi
Jovi nimboso Saturnio, qui omnibus imperat.
Crura igitur assantes, epulabantur gloriosum convivium
Oblectantes *sese*; inter ipsos verò canebat divinus cantor

Σ Χ Ο Λ Ι Α.

9. Ἀκουάζεσθε.] Ἀκροᾶσθε.

10. Εὐξέστῃ.] Καλῶς ἐξεσμένῃ, καλῶς εἰργασμένῃ.

11. Πολυδαίδαλος.] Ὁ ποικίλος, καὶ μὴ πίνων ἀκροκόλασμένος· ἢ εἰς τὸ δαιδάλλειν καὶ ποικίλλειν εὔθετος.

12. Βουληφόροι.] Σωτῆρι. Φερεσπόνδοις. Ἔνεικαν.] Ἤνεγκαν.

14. Ἀνδρακάς.] Καθ' ἄνδρα. Καθ' δῆμον.] Ἐκ τῶν δήμων.

15. Τισόμεθα.] Εἰσπραττόμεθα. ἢ ἀπολαμβάνωμεν.

Ἀργαλέον γὰρ ἑνὶ προτὶ ἕκαστα φέρεσθαι.] Ἡ σφοδρὸς φησὶ, ἀντὶ τοῦ σφόδρα· ἐγγὺς γάρ. Χαλεπὸν γὰρ καὶ δύσκολον, ἵνα δώσειε τοσούτῳ χαρίσασθαι.

17. Κακκειόντες.] Μέλλοντες κοιμᾶσθαι.

21. Ὑπὸ ζυγά.] Ὑπὸ τοὺς κωπέας τῶν ἐρετῶν.

22. Βλάπτοι.] Ἐμποδίζοι. Σπέρχοιατ' ἐρετμοῖς.] Σπεύδοιεν ταῖς κώπαις, ἃ ἐν σπουδαίοις ἐλαύνουσιν.

23. Ἀλέγυνον.] Εὐτρέπιζον, κατεσκεύαζον.

26. Κείαντες.] Καύσαντες. Ἐρικυδέα.] Μεγάλως ἐνδοξον.

N O T Æ.

10. Εὐξέστῃ ἐπὶ καλῷ.) En! Iterum vides καλὸν *Fœmininum*, contrà quod *Lexicographorum* turba; vid. ad Σ'. v. 424. & infrà, v. 68. Potest tamen & sic scribi, ἐϋξέστῳ, cùm sit ὁ καὶ ἡ.

13. Ἤδη λίβητα) *Eustath.* fol. 501. lin. 43. fatetur εἰ legi, at fol. 502. lin. 10. dicit, Ab Accuratioribus legi ἤδη, quod & probo.

14. Ἀνδρακάς) Ità, pro ἄνδρα, scribo. Vid. *Etymolog.* M. v. Ἄνδρα.

15. Περικὸς χαρίσασθαι) Vel hic περιδὲ, ἀντιστρόφου, ὡς ἐν τῷ, Ἀπόδος μοι τὸν λίβητα, vel, ut *Eustath.* fol. 502. lin. 31. ἀφ' ὑψηλοῦ, aut ἀοῖκα, pro καθ' ὑψηλὸν, χαρίσασθαι, Ἀττικῶς. Vel πρῶτον subaudiendum.

NOTÆ IN SCHOLIA.

26. Ἔνδικον) Ità pro ἔνδικα legendum.

VARIÆ LECTIONES.

10. Εὐξέστῃ) γρ. ἐϋξέστῳ. Vid. Not. in *Textum*.

12. Ἔνεικαν) γρ. ἤνεγκαν.

13. Ἤδη λίβητα) γρ. εἰ λίβητα, vid. Not. in *Textum*.

14. Ἀνδρακάς) γρ. ἄνδρα καθ', *Eustath.* fol. 502. lin. 22. & *Dupori.* in locum; nec vidit *Hen. Stephanus*: Quis enim, Omnia? Ἄνδρα, pro ἄνδρ.

19. Νῆ' ἄρ') γρ. νῆά τ'. & νῆάδ'. Ἐπισταμένως) γρ. ἐπ' ἴσα.

26. Κείαντες) γρ. κήαντες, *Aloysii* MS.

Δημόδοκ@, λαοῖσι τετιμένος· αὐτὰρ Ὀδυσεὺς
Πολλὰ προὸς ἠέλιον κεφαλὴν τρέπε παμφαάοντα,
Δῦναι ἐπειγόμενον· δὴ γὰρ μενέαινε νέεσθαι.
Ὡς δ' ὅτ' ἀνὴρ δέρτροιο λιλαίεται, ᾧτε παῖμαρ
Νειὸν ἀν' ἕλκησιν βόε οἰνοπε πηκτὸν ἄροτρον,
Ἀσπασίως δ' ἄρα τῷ κατέδυ φάος ἠελίοιο,
Δόρπον ἐποίχεσθαι, βλάβεται δέ τε γούνατ' ἰόντι·
Ὡς Ὀδυσῆι ἀσπασὸν ἔδυ φάος ἠελίοιο.
Αἶψα δὲ Φαιήκεσσι φιληρέτμοισι μετηύδα,
Ἀλκινόῳ δὲ μάλιστα πιφαυσκόμενος φάτο μῦθον·
Ἀλκίνοε κρεῖον, πάντων ἐρικυδέστατε λαῶν,
Πέμπετέ με σπείσαντες ἀπήμονα· χαίρετε δ' αὐτοί·
Ἤδη γὰρ τετέλεσται, ἃ μοι φίλον ἤτορ ἤθελε θυμός,
Πομπὴ καὶ φίλα δῶρα, τά μοι θεοὶ οὐρανίωνες
Ὄλβια ποιήσαν· ἀμύμονα δ' οἶκοι ἄκοιτιν
Νοστήσας εὕροιμι, σὺν ἀρτεμέεσσι φίλοισιν.
Ὑμεῖς δ' αὖθι μένοντες εὐφραίνοιτε γυναῖκας
Κηδείας, καὶ τέκνα· θεοὶ δ' ἀρετὴν ὀπάσαιεν
Παντοίην· καὶ μήτι κακὸν μεταδήμιον εἴη.
Ὣς ἔφατ'· οἱ δ' ἄρα πάντες ἐπήνεον, ἠδ' ἐκέλευον
Πεμπέμεναι τ' ξεῖνον, ἐπεὶ κατὰ μοῖραν ἔειπεν.
Καὶ τότε κήρυκα προσέφη μετὰ Ἀλκινόοιο,
Πολύκτορ, κρητῆρα κεραασάμενος, μέθυ νεῖμον
Πᾶσιν ἀνὰ μέγαρον· ὄφρ' εὐξάμενοι Διὶ πατρὶ,

Demodocus, populis honoratus; at Ulyſſes
Multùm ad Solem caput vertebat omnia illuſtrantem,
Ut deſcenderet expetens; jamdudum enim cupiebat reverti.
Sicut autem cùm vir cœnam concupiſcit, cui perdiu
Per Novale traxerunt boves atri compactum aratrum;
Expectatò quidem hunc occidit lumen Solis,
Cœnam ut ineat, affliguntur nempè genua euntì:
Sic Ulyſſi gratum occidit lumen Solis.
Statim igitur Phæacibus ſtudioſis remorum locutus eſt,
Alcinoo autem maximè denuntians dixit ſermonem,
" Alcinoe rex, omnium princeps populorum,
" Mittite me, ubi ſacrificaveritis, illæſum; Valeteque ipſi;
" Jam enim perfecta ſunt, quæ mihi charus volebat animus,
" Comitatus & chara dona, quæ mihi dei cœleſtes
" Fortunata faciant; integram autem domi uxorem
" Redux inveniam, cum incolumibus amicis.
" Vos autem hìc manentes oblectetis uxores
" Dilectas, & liberos; Dii verò virtutem dent
" Omnimodam; & nè quod malum publicum ſit.
Sic dixit; illi verò omnes collaudabant, & jubebant
Mitti hoſpitem, quòd ritè & ut par erat, locutus eſſet.
Et tunc præconem allocuta eſt virtus Alcinoi,
" Polyctor, cratere impleto, merumdiſtribue
" Omnibus in domo; ut apprecati Jovem patrem,

ΣΧΟΛΙΑ.

28. Τελμηδ@.] Τελμαδ@, πρι@.
29. Παμφαείνοντα.] Πᾶσι φαίνοντα.
30. Μενέαινεν.] Ἐφεψητζι.
31. Λιλαίεται.] Ἐπιθυμεῖ.
32. Νειὸν.] Γῆν νεοτροπηθεῖσαν. Ἕλκησιν] Ἕλκωσιν Πακτόν.] Τὸ μὲν ἐξ αὐτοῦ ἦχον τὸ * γόμφ.
37. Πιφαυσκόμεν@.] Φανερούμενος.
40. Τετέλεσται.] Πεπλήρωται.
42. Ὄλβια.] Εὐτυχῆ.
43. Ἀρτεμέεσσι.] Ὑγιέσι δὲ πιστοῖς.
45. Κηδείας.] Τὰς ἐκ παρθενίας γαμουμένας. Ἀρετὴν.] Εὐδαιμονίαν.
46. Μεταδήμιον.] Ἐνδημον τῇ πόλει.

NOTÆ.

30. Δῦναι ἐπειγόμεν@.] τὸ ἅλιον δηλονότι) Tale illud Περξαπτικ. c. 27. v. 29. Ἤνυχον ἠμίεσυ ἠελίοιο. *Metric. Caſaubon.* De nuperâ *Homeri* Edit. §. 1. p. 37.

51. Πᾶσιν ἀνὰ μέγαρον, ὄφρ' εὐξάμεν@ Διὶ πατρὶ] Hic Verſus διπλᾶς, quandò *Ultima* Ϝ *ante* producatur, in *Caſurâ*, vi *Toni* ſui, & ante *Liquidam*;

NOTÆ IN SCHOLIA.

31. * Γόμφ) Ità pro γόνυ reſtituo, ex *Aloyſii* MSto. Eſt autem ὁ γόμφος pars Aratri, *Dentale* dicta.

VARIÆ LECTIONES.

29. Τρέπε) κ. πρέπε.
32. Ἀνὰ νειὸν) γρ. ἀπ' ἴλικος. *H. Steph.* & *Br. Schol.*

Τὸν

Τὸν ξεῖνον πέμπωμεν ἐλὺ ἐς πατρίδα γαῖαν.
Ὣς Φάτο· Ποντόνοος δ' μελίφρονα οἶνον ἐκίρνα·
Νέμησεν δ' ἄρα πᾶσιν ὀπιζαδὸν· οἱ δ' θεοῖσιν
Ἔσπενδον μακάρεσσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν,
Αὐτόθεν ἐξ ἑδρέων· ἀνὰ δ' ἵστατο δῖος Ὀδυσσεὺς,
Ἀρήτῃ δ' ἐν χερσὶ τίθη δέπας ἀμφικύπελλον,
Καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα,
Χαῖρέ μοι, ὦ βασίλεια, διαμπερὲς, εἰσόκε γῆρας
Ἔλθῃ, καὶ θάνατος, τά τ' ἐπ' ἀνθρώποισι τέλονται.
Αὐτὰρ ἐγὼ νέομαι· σὺ δὲ τέρπεο τῷδ' ἐνὶ οἴκῳ,
Παισί τε, καὶ λαοῖσι, καὶ Ἀλκινόῳ βασιλῆϊ.
Ὣς εἰπὼν, ὑπὲρ οὐδὸν ἐβήσετο δῖος Ὀδυσσεύς.
Τῷδ' ἅμα κῆρυκα πρόφρων μθύσε Ἀλκινόοιο,
Ἡγεῖσθ' ὅπως νῆα θοὴν, καὶ ἅλαδε θαλάσσης·
Ἀρήτη δ' ἄρα οἱ δμωὰς ἅμ' ἔπεμπε γυναῖκας·
Τὴν μὲν, φᾶρος ἔχουσαν εὐπλυνὲς, ἠδὲ χιτῶνα,
Τὴν δ' ἑτέρην, κλισὸν πυκινὴν ἅμ' ἔπεμπε κομίζειν·
Ἡ δ' ἄλλη σῖτόν τ' ἔφερεν, καὶ οἶνον ἐρυθρόν.
Αὐτὰρ ἐπεί ῥ' ἐπὶ νῆα κατήλυθον, ἠδὲ θάλασσαν,
Αἶψα τά γ' ἐν νηὶ γλαφυρῇ πομπῆες ἀγαυοὶ
Δεξάμενοι κατέθεντο, πόσιν καὶ βρῶσιν ἅπασαν.
Κὰδ' δ' ἄρ' Ὀδυσσῆϊ στόρεσαν ῥῆγός τε, λίνον τὲ,
Νηὸς ἐπ' ἰκριόφιν γλαφυρῆς, ἵνα νήγρετος εὕδοι,

" Hunc hospitem mittamus suam in patriam terram.
Sic dixit; Pontonous verò mellitum vinum miscuit,
Distribuitque omnibus astando: hi autem Diis
Libârunt beatis, qui cœlum latum inhabitant,
Illinc ex sedibus; surrexit verò divinus Ulysses,
Aretæque in manibus posuit poculum rotundum,
Et ipsam compellando verba velocia dicebat,
" Vale mihi, ô regina, in perpetuum; donec senectus
" Veniat, & mors, quæ utique hominibus accidunt.
" At ego proficiscor; tu autem delectare hâc in domo,
" Liberisque, & populis, & Alcinoo rege.
Sic locutus super limen ivit divinus Ulysses.
Huic simul præconem præmisit virtus Alcinoi,
Præcedere ad navem velocem, & littus maris;
Arete quoque illi famulas simul misit mulieres;
Hanc quidem chlamydem habentem puram & tunicam,
Alteram autem arcam pictam simul dedit portare;
Tertia verò panemque ferebat, & vinum rubrum.
At postquam ad navem pervenerunt & mare,
Statim hæc in navi concavâ comites lati
Accepta deposuerunt, potum, & cibum omnem;
Sed Ulyssi constraverunt culcitramque, linteumque
Navis in subsellîs concavæ, ut molliter cubaret,

ΣΧΟΛΙΑ.

54. Ἐπισπόν.] Ἐπισπώνως, * ἐπισπώνως, ἀμπείρως· * ἢ. ἐφιστάμενοι ἐκέλευσε.
56. Ἐξ ἑδρέων.] Τῶν καθεδρῶν.
59. Διαμπερές.] Δι' ὅλου ἢ βίου.
61. Νέομαι.] Ἀπέρχομαι.
63. Ἐβήσετο.] Ἔβη, ἐπορεύθη.
67. Εὐπλυνές.] Καλῶς πλυθὲν, καθαρὸν.
68. Πυκινὴν.] * Σπογγώδη. Κομίζειν.] Ἄγειν; φέρειν.
70. Κατήλυθον.] Κατῆλθον.
72. Πάσαν.] Ποτὸν.
73. Λίνον.] Λευκὸν ἱμάτιον.
74. Ἐπ' ἰκριόφιν.] Ἐπὶ τὸ καταστρωμάτιον. Νήγρετον.] Ἀνέγερτον, βαθὺν, ἢ δι' ὅλης νυκτὸς βραδύν.

NOTÆ.

& *Ultima* Τ *μάκρον* producatur etiam, in *Cæsurâ*, vi *Finalis*, ante *Incisum*, & ob *Acutum*, in sequenti Voce. Vel denique potest *Iambus* ferri, in *Tertio* loco, ut mox in *Quarto*, v. 136. Χαλκὸν τε, Χρυσὸν τε ἄλις, ἐδῆτύν θ' ὑφαντήν.

54. Ἐπισπόν) Vid. *Etymolog.* M. v.
68 Χαλὸν πυκινὴν) Ἡ χαλὸν, iterum; ut modò, v. 10.

NOTÆ IN SCHOLIA.

54. * Ἐπισπώνως, ἐμπείρως, ex MSto. * Cætera *Etymolog.* M. v.
68. * Σπογγώδη) Itâ, pro συνετὰ, in hoc loco omninò scribendum; ubi de Cistâ res est.

VARIÆ LECTIONES.

56. Ἑδρέων) χ. ἰδίων, vid. ad *Iliad.* α'. v. 534.
63. Ἐβήσετο) χ. ἐβάσκετο, ut infrà, v. 75.
68. Ἔσπενδον) γρ. ἔσπεισαν, *H. Steph.*
74. Εὕδοι) γρ. εὕδῃ, *H. Steph.*

Πρόμε-

Πρύμνης· ἀν ἦ ϗ αὐτὸς ἐβήσετο, ϗ κατέλεκτο
Σιγῇ· τοὶ ἦ κάθιζον ἐπὶ κληῖσιν ἕκαστος
Κόσμῳ· πεῖσμα δ' ἔλυσαν ἀπὸ πρητοῖο λίθοιο·
Ἔνθ' οἱ ἀναστάντες ἀνερρίπτουν ἅλα πιδῷ·
Καὶ τῷ νήδυμος ὕπνος ἐπὶ βλεφάροισιν ἔπιπτε,
Νήγρετος, ἥδιστος, θανάτῳ ἄλγιστα ἐοικώς·
Ἡ δ', ὥς τ' ἐν πεδίῳ τετράορι ἄρσενες ἵπποι,
Πάντες ἅμ' ὁρμηθέντες ὑπὸ πληγῇσιν ἰμάσθης,
Ὑψόσ' ἀειρόμενοι, ῥίμφα πρήσσουσι κέλευθον·
Ὡς ἄρα τ πρύμνη μὲν ἀείρετο, κῦμα δ' ὄπισθε
Πορφύρεον μέγα θῦε πολυφλοίσβοιο θαλάσσης.
Ἡ ἦ μάλ' ἀσφαλέως θέεν ἔμπεδον· οὐδέ κεν ἴρηξ
Κίρκος ὁμαρτήσειεν, ἐλαφρόταλος πετεηνῶν.
Ὡς ἡ ῥίμφα θέουσα θαλάσσης κύμαθ' ἔταμνεν,
Ἄνδρα φέρουσα, θεοῖς ἐπιάλκιμα μήδε' ἔχοντα·
Ὅς πρὶν μὲν δὴ μάλα πολλὰ πάθ' ἄλγεα ὃν κατὰ θυμόν,
Ἀνδρῶν τε πολέμους, ἀλεγεινά τε κύματα πείρων·
Δὴ τότε γ' ἀτρέμας εὗδε, λελασμένος, οὕνεκ' ἐπετόλθη.

In puppi: Ipſe autem ingreſſus eſt, & recubuit
Silentio, illique ſederunt in transtris ſinguli
Ordine, funemque ſolverunt à pertuſo lapide.
Ibique hi incumbentes jactabant mare remo:
Et huic ſuavis ſomnus in palpebris incidit,
Inexcitabilis, jucundiſſimus, morti proxime ſimilis.
Illa autem, ſicut in campo quadrijuges maſculi equi,
Omnes ſimul incitati à verberibus ſcuticæ,
Altè elevati, celeriter emetiuntur viam:
Sic quidem hujus puppis tollebatur: unda autem pone
Nigra magna ruebat perſonantis maris.
Et hæc valde rectè currebat firmiter; neque accipiter
Circus aſſecutus fuiſſet, citiſſimus volucrum.
Sic illa celeriter currens maris undas ſecabat,
Virum ferens, diis æquas curas habentem:
Qui antea quidem multos paſſus eſt dolores ſuo in animo,
Virorumque bella, moleſtaſque undas penetrans;
Jam tunc ſecurè dormiebat, oblitus eorum, quæ paſſus fuerat.

Σ Χ Ο Λ Ι Α.

77. Κάσμῳ.] Ἐν κάσμῳ, ἐν τάξει. Πεῖσμα.] Τὸ λάτγιστον χωρίον. Πρητοῦ λίθου.] Εἰώθασιν ἐπὶ τῶν λιμένων πυκνοῦν τοὺς λίθους.

78. Ἀνερρίπτουν.] Ἀπὸ τοῦ παραλελειθότες, ἀναρρίπτουσι γὰρ ἐκ τοῦ κοιλου τὸ ὕδωρ.

80. Ἤδιστος.] Ἡδύτατος.

81. Ἥδ' ὥς τ' ἐν πεδίῳ.] Ἐν κίκλῃ τῇ παραβολῇ. ὥσπερ γὰρ ἵπποι τέσσαρες ἐν τῷ ἀτειθίων μέρει διαγένονται, ὅτω κὴ ἡ ναῦς ἐλαυνομένη ἐκ τῆ πρύμνης κατέφιζεται. Τετράορι.] Τέσσαρες ἵπποι ἐζευγμένοι τετράορι τὸ ε μακρόν.

81. Ἰμάσθης.] Μάστιγος.

83. Ἀειρόμενοι.] Ἐπαιρόμενοι, κυφιζόμενοι.

84. Ἀείρετο.] Ἐπήρετο. ὑψοῦτο.

87. Κίρκος.] Ἱέραξ. Ὁμαρτήσειεν.] Ἀκολουθήσειεν.

88. Ἔταμνεν.] Ἔσχιζεν.

92. Ἐπετόλθη.] Ἔπαθεν, ὑπέμεινε.

N O T Æ.

80. Νήγρετος, ἥδιστος, θανάτῳ ἄλγιστα ἐοικώς) *Virgil.* Æn. l. 6. v. 522. *Dulcis & alta Quies, placidæque ſimillima morti.* Totius *Odyſſeæ* Allegoria, *Ulyſſes*, dum Felicitatem veram quærit, quæ per *Ithacam* & *Penelopen* ſignificatur, pluribus excipitur ærumnis. Hujus Socii, per *Libidinem, Intemperantiam, Temeritatem*, reditu, votis & vitâ mulctati, Patriâ excidunt. Ipſe ſolus evadit, & tandem *Phæacum* ope, longâ in Navi, per mare, in Patriam Dormiens devehitur. *Phæaces*, à φαιὸς, *Ater, Lugubris*, ſunt illius Exequiarum miniſtri. *Navis*, tumulus, poſtea in *Petram* converſa, hoc eſt *Lapidem* Sepulcralem. *Somnus* illi Mors, cujus ope tandem ad *Felicitatem* migrat.

81. Τετράορι ἵπποι) Τετράορ⊙, τέτρωρ⊙· παρὰ τὸ ὑρτρίνας καὶ ἁρμούς τὰς ἵππους. *Etymolog.* M. v. Τετράορι) Τέσσαρες ἐπὶ τοῦ πεδίλῳ ἐζευγμένοι. *Heſych.* Τέθριππ⊙, ἀντὶ τοῦ, τετράϊππ⊙. Vid. ad *Var. Lect.*

88. Κέλευθ' ἵπποι) *Virgil.* Æn. l. 5. v. 18. — —*Secat æquora.*

NOTÆ IN SCHOLIA.

81. * Ἐξεζευγμένοι) Pro corrupto ἐξευγμένοι, nec ſine MSti auctoritate.

VARIÆ LECTIONES.

75. Ἐβήσετο) γρ. ἐβάσετο. *H. Steph.* vid. ad λ'. v. 12. & ſuprà, v. 63.

76. Ἔκατ⊙) γρ. ἵκατο. *H. Steph.*

81. Τετράορι) γρ. τετράορες. *Euſt.* fol. 505. lin. 35.

85. Θοῦι) γρ. θοῦν.

86. Ἴρηξ) γρ. ἶρηξ.

Εὖτ'

Εὖτ' ἀστὴρ ὑπέρσχε Φαάνθιος, ὅς τε μάλιστα
Ἔρχεται ἀγγέλλων φάος Ἠοῦς ἠριγενείης·
Τῆμος δὴ νήσῳ προσεπίλνατο ποιητοῖο νηῦς.
Φόρκυνος δέ τις ἐστὶ λιμὴν, ἁλίοιο γέροντος,
Ἐν δήμῳ Ἰθάκης· δύο δ' ἄκραι πρόβλητες ἐν αὐτῷ
Ἀκταὶ ὑπερρῶγες, λιμενόσ' ἀμφιπεριπλομέναι·
Αἵτ' ἀνέμων σκεπόωσι δυσαήων μέγα κῦμα
Ἔκτοθεν· ἔντοσθεν δ' ἄνευθε δεσμοῖο μένουσι
Νῆες ἐϋσσέλμοι, ὅταν ὅρμου μέτρον ἵκωνται.
Αὐτὰρ ἐπὶ κρατὸς λιμένος τανύφυλος ἐλαίη·
Ἄγχοθι δ' αὐτῆς, ἄντρον ἐπήγαθον, ἠερόεντες,
Ἱερὸν νυμφάων, αἳ Νηϊάδες καλέονται.
Ἐν δὲ κρητῆρές τε καὶ ἀμφιφορῆες ἔασι

Quando ſtella exorta eſt lucidiſſima, quæ maxime
Venit nuncians lumen Auroræ manè-genitæ;
Tum jam inſulæ appropinquabat: mare permeans navis.
Phorcynis ſanè quidam eſt portus, marini ſenis,
In agro Ithacæ; duo item projecta in ipſo
Latera abrupta, in portum vergentia:
Quæ à ventis defendunt ſtridentibus magnum fluctum
Ab extra; ab intùs verò ſine vinculo manent
Naves benè-tabulatæ, cùm portûs ſpatium intraverint.
At in vertice portûs paſſis-ramis oliva;
Propeque ipſam antrum amœnum, obſcurum,
Sacrum Nymopharum, quæ Naiades vocantur.
Intùs itaque craterèſque & amphoræ eran:

ΣΧΟΛΙΑ.

93. Ὑπερίσχει.] Ἀνίσταται. Φαάνθιος.] Λαμπρός. * Φωσφόρος· ὃς καθίστησι τὸν ἑσπερινὸν ἵππον ἄστρον.

94. Ἀγγέλλων.] Προμηνύων.

95. Περιπέπλατο.] Περιεπέλασεν.

96. Φόρκυνος.] Λιμὴν Ἰθάκης, ἀφ' οὗ λιμένες Φόρκυνές εἰσιν ἱεροὶ, ἢ θαλασσίου δαίμονος. Ἁλίοιο γέροντος.] Τοῦ Φόρκυνος. Φόρκυνος δέ τις ἐστὶ λιμὴν ἁλίοιο γέροντος.] Φόρκυν, δαίμονα θαλάσσιον, τὸν σοφώτερον Πρωτέως καὶ τῶν * Ἀρυσσίῳ λεγομένων ἐρὶ τὸ Ἀχαϊκὸν, εἰκόνι τινὶ τῶν Φόρκυνος, ἀπ' αὐτοῦ καλουμένην. Βάσσαρα· * κἀπὶ φασὶν αὐτῷ, καθάλιπεῖν τὰς τελείας πύλας, ἀφικέσθαι εἰς τὴν Κεφαλλωνίαν· κἀ τότε ἐκλιπόμενον ἐκτιτρῶσκον αὐτῷ, ἐσπαῦθαι φάσκοντα· λέγεται δὲ Ἄμμων, ὁ τότε, σωσιπατρώνας εἰς τὸ τῆς Ἰθάκης λιμένα, ἐξίστασθαι αὐτὸν * ἀφ' ἑαυτοῦ σωσιπατρωνίδας Φόρκυνος· ἢ ὃ ἐστὶν ἱερεὺς παρὰ Ἡροδότῳ.

98. Ἀπερρῶγες.] Διεῤῥωγυῖαι, οὐχ ὡς μόνον τὸ ῥῆμα τοῦ ῥήγνυμι λαμβάνων. Πολυπετηνυῖαι.] Ἔστι πετρώδης.

99. Σκεπόωσι.] Σκέπουσι, κωλύουσι, σκέπας παρέχουσι. Δυσαήων.] Καταπνεόντων.

101. Ὅρμου μέτρον.] Ὅταν εἰς τὸ ὁρμιαῖον ἐμφίνωσι· τὸ μέτρον, ἢ τὸ ἀπαιτούμενον τοῦ καθορμίζειν ἔχωσι.] Παραγίνωσι.

102. Ἐπὶ κρατός.] Ἐπὶ τῆς ἀρχῆς. Τανύφυλλος.] Τεθραμμένα φύλλα ἔχουσα, μακρόφυλλος.

103. Ἐπήρατον.] Ἐπίκαιρον, καλόν. Ἠερόεντες.] Μέγα καὶ ἀναπεφαμένον, εὔρυτον.

104. Νυμφάων.] Νυμφῶν. Νηϊάδες.] Ἀπὸ τῶν Νηΐων ὀρῶν, ἢ Ναΐδες· νύμφαι εἰσὶ τῶν ὑδάτων.

105. Ἀμφιφορῆες.] Εἴδη κεραμέων ἀμφορέων.

NOTÆ.

93. Εὖτ' ἀστὴρ) *Phoſphori* Ortus.

96. Φόρκυνος δέ τις ἐστὶ λιμὴν) *Virgil.* Æn. l. 1. v. 163. *Inſula Portum Efficit, objectu laterum.* Vid. *Macrob.* l. 5. c. 3. *Turneb.* Adverſar. l. 18. c. 31.

98. Ἀπερρῶγες) Vid. *Etymolog.* M. v. Ἀπερρῶξ, & Ἀπόρρωγες.

101. Νῆες ἐϋσσέλμοι) Hanc *veram* in hujuſmodi Vocibus & antiquam *Lectionem* paſſim probo. Sic *Iliad.* ε'. v. 725. Χάλκεαι ἰκριόεσσαι, σωσιπατρώνες, καὶ-

NOTÆ IN SCHOLIA.

93. * Φωσφόρος) Ex *Homero*, χ'. v. 318.

96. * Ἀρυσσίῳ) Ità, pro corrupto Ἀρυσσίῳ, lego, ex MSto. in quo tamen malè locatur hoc *Scholion*, ad hujus *Rhapſodiæ* principium, fol. 343. cum locum rectiùs poſtularet hunc, ad fol. 346. Pejus tamen in pluribus *Editionibus* deeſt. Pro κἀπὶ, lego * κἀπὶ, Senſu ſuffragante. Pro * ἀμφ', lego ἀφ'.

VARIÆ LECTIONES.

101. Ἐϋσσέλμοι) γρ. ἰύσσελμοι, vid. Not. in *Textum*.

104. Ἱερὸν) γρ. ἱερὰν, *Porphyr.* καὶ νυμφῶν ἄντρον, verùm & hic, & infrà, v. 348. ἱερὸν, in Omnibus.

Λάϊ-

Λάϊνοι· ἐν δ' ἔπειτα πθαυβάσυσι μέλισσαι.
Ἐν δ' ἰφὶ λίθοις πθεμήκεες, ἔνθα τὲ Νύμφαι
Φάρε' ὑφαίνουσιν ἁλιπόρφυρα, θαῦμα ἰδέσθαι.
Ἐν δ' ὕδατ' ἀενάοντα· δύω δέ τέ οἱ θύραι εἰσίν·
Αἱ μὲν πρὸς Βορέαο, καταιβαταὶ ἀνθρώποισιν,
Αἱ δ' αὖ πρὸς Νότου, εἰσὶ θεάπτεραι· οὐδέ τι κείνῃ
Ἀνδρες ἐσέρχονται, ἀλλ' ἀθανάτων ὁδός ἐστιν.
Ἔνθ' οἵγ' εἰσέλασαν, πολὺ εἰδότες· ἡ μὲν ἔπειτα
Ἠπείρῳ ἐπέλασσαν, ὅσον τ' ἐπὶ ἥμισυ πάσης,
Σπερχομένῃ· τοίων γὰρ ἐπείγετο χέρσ' ἐρετάων.
Οἱ δ' ἐκ νηὸς βάντες ἐϋζύγου ἤπειρόνδε,
Πρῶτον Ὀδυσῆα γλαφυρῆς ἐκ νηὸς ἄειραν,
Λύτρῳ σύν τε λίνῳ, καὶ ῥήγεϊ σιγαλόεντι,
Καὶ δ' ἄρ' ἐπὶ ψαμάθῳ ἔθεσαν, δεδμημένον ὕπνῳ.
Ἐκ δ' ὄχεα κάλλιπον, ἃ οἱ Φαίηκες ἀγαυοὶ
Ὦτρυναν οἶκαδ' ἰόντι, διὰ μεγάθυμον Ἀθήνην.
Καὶ τὰ μὲν ὑπὸ πρῶθι ποδὸς πυθμὴν ἐλαίης ἀθρόα θῆκαν

Lapidex; ibi verò præterea mellificant apes.
Intùs etiam telæ lapidex prælongæ, illicque Nymphæ,
Velamina texunt cærulea, mirabile visu.
Intùs quoque aquæ perpetuæ, duæque ei januæ sunt;
Illæ quidem ad Boream permeabiles hominibus:
Illæ autem rursus ad Notum, sunt sanctiores; neque illàc
Viri intrant; sed immortalium via est.
Hùc illi invecti sunt, priùs quàm scirent; hæc quidem postea
Terræ appulit, quantum ad dimidium totius i. e. *dimidiâ sui parte*,
Concitata: talium enim impellebatur manibus remigum.
Hi igitur ex navi egressi benè-trantilitatâ in terram,
Primùm Ulyssem concavâ ex nave sustulerunt,
Ipso cunique lineo, & culcitrâ splendidâ:
Atque in arenâ deposuerunt, captum somno.
Res autem extulerunt, quas Phæaces illustres
Dederant domum eunti, propter magnanimam Minervam.
Et has quidem porrò apud radicem olivæ cumulatas posuerunt

ΣΧΟΛΙΑ.

106. Τεθριῶάσυσιν.] Ἀντὶ τῷ βόσι, ὃ ἐστὶ τὸ μέλι· εἶτα ὑποκορίζεται τὰ περὶα, ἐκ * νεοπλοκφῶσι.

107. Λίθοις.] Λίθινοι.

109. Ἀενάοντα.] Ἀεὶ ῥέοντα.

110. Καταιβαταὶ ἀνθρώποισι.] Βάσιμοι, δι' ὧν καταβάσεις εἰσὶν ἀνθρώποις.

111. Θεάπτεραι.] Θεόπτεραι, δι' ὧν μόνοι θεοὶ εἰσέρχονται.

116. Βάντες.] Ἐκβάντες, ἐξελθόντες. Ἐϋζύγου.] Εὖ σωιζευγνυμένης.

117. Ἄειραν.] Ἐκόμισαν.

119. Καὶδ' ἄρ' ἐπὶ ψαμάθῳ ἔθεσαν.] Οὐ παρέλιπεν αὐτὸν, πρὸς ὃ μὴ δυνατὸν χάριν ἐπιφυομένης ἀπαιτῇ· ἢ ἵνα μὴ καταχθόνιον ὑπ' αὐτοῦ ἢ ὕπνος φονεύσαντα παρὰ τοὺς ἐχθροὺς ἀπέλθητε· ὃν τινὰ δὲ μυστήρων, φανερὸν καλῶν.

122. Πυθμένα.] Ῥίζαν.

NOTÆ.

Solis Portas. Quià in utroque obviante Solstitio, ulteriùs Solis inhibeatur accessus. Per has item Portas, Animas de Cœlo in Terras meare, rursumque de Terris Cœlestia repetere; proindeque *Hominum* Unam dici, alteram *Deorum*. *Hominibus* dicari *Cancrum*, quia per hunc fiat ad ima defluxus; *Diis* verò *Capricornum*, quià illac postliminiò Cœlestibus Animæ restituantur sedibus, &c. *Mox*, Adde, quòd *Boream* tradunt Generationi percommodum; quo fit, ut Morientes Spiritu credatur excitare, &c. quibus ultimis verbis alludit ad locum *Iliad. ε'.* v. 697. ubi *Sarpedon* ex deliquio recreatur, à *Boreâ*.

108. Φάρε' ὑφαίνουσι — θαῦμα ἰδέσθαι) Ità *Psalm.* 139. v. 13. 14. &c. Φοβερῶς ἐθαυμαστῶς ἐμορφώθην.

110. Ἃ μὲν πρὸς Βορέαο καταιβαταὶ ἀνθρώποισιν) Huc refer illud *Orphei*, Ἀντλεῖν τὲ, Δύσις τὲ, θεῶν ἐπὶ ἐρχομένων, *Euseb.* Præparat. Evangel. l. 3. c. 9. Per *Capricornum* fingunt *Platonici*, *Animas Corpore solutas*, *in Cœlum* ascendere. De quâ re vid. *Cœl. Augustin. Curionem*, in Hieroglyph. apud *Pierium*, fol. 436. F. & Epistol. Dr. *Fryar*, VIII. fol. 421. Verùm ex ipsis *Platonicis* contrarium profert *Cœl. Rhodigin.* Antiqu. Lect. l. 15. c. 23. Scribunt, inquit, *Platonici*, & in Naturalibus non prætermisit *Macrobius*, *Capricornum*, *Cancrumque* dici à *Physicis*.

NOTÆ IN SCHOLIA.

106. * Νεοπλοκφῶσι) Ità emendo, pro *Schrevelii* corrupto νεοπλοφῶσι, ex MSto *Aloysii*, *Aldinâ*, *Morrhii* & *Bedrosi* Editt.

VARIÆ LECTIONES.

109. Ἀενάοντα) γρ. αἰενάοντα, *H. Steph.*

115. Τοίων) γρ. πᾶσι, *H. Steph.*

Ἐκτὸς

Ἐκτὸς ὁδοῦ, μή πού τις ὁδοιπόων ἀνθρώπων,
Πρίν γ' Ὀδυσῆ ἔγρεσθαι, ἐπελθὼν δηλήσαιτο.
Αὐτοὶ δ' αὖτ' οἰκόνδε πάλιν κίον· ὐδ' Ἐνοσίχθων
Λήθεΐ' ἀπφλάων, τὰς ἀπειλέω Ὀδυσῆϊ
Πρῶτον ἐπιπτείλησε· Διὸς δ' ἐξείρετο βουλὴν,
Ζεῦ πάτερ, οὐκέτ' ἔγωγε μεῖ' ἀθανάτοισι Θεοῖσι
Τιμήεις ἔσομαι, ὅτε μὲ βροτοὶ οὔπη τίουσι
Φαίηκες, τοί πέρ τοι ἐμῆς ἐξ εἰσὶ γενέθλης.
Καὶ γὰρ νῦν Ὀδυσῆα φάμην κακὰ πολλὰ παθόντα
Οἶκαδ' ἐλεύσεσθαι· Νόστον δέ οἱ οὔποτ' ἀπεύρων
Πάσχω, ἐπεὶ σὺ πρῶτον ὑπέσχεο, καὶ κατένευσας.
Οἱ δ' εὖδον σὺν νηῒ θοῇ ἐπὶ πόντον ἄγοντες
Κάτθεσαν εἰν Ἰθάκῃ, ἔδοσαν δέ οἱ ἄσπετα δῶρα,
Χαλκόν τε, χρυσόν τε ἅλις, ἐσθῆτά θ' ὑφαντήν,
Πολλ', ὅσ' ἂν οὐδέ ποτε Τροίης ἐξ ἤρατ' Ὀδυσσεύς,
Εἴπερ ἀπήμων ἦλθε, λαχὼν σὺν λητίδος αἶσαν.
Τὸν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς,
Ὢ πόποι, Ἐννοσίγαι' εὐρυσθενές, οἷον ἔειπες;
Οὔτι σ' ἀπεμάζουσι Θεοί· χαλεπὸν δέ κεν εἴη
Πρεσβύτατον καὶ ἄριστον ἀπημύνειν ἐόντα.
Ἀνδρῶν δ' εἴπερ τις τε βίῃ καὶ κάρτεϊ εἴκων
Οὔτι πέει, σοὶ δ' αἰὲν ἐπισσεύηται πέρι θυμῷ.
Ἔρδων, ὅπως ἐθέλῃσθα, καὶ τοι φίλον ἔπλετο θυμῷ.

Extra viam: ne aliquis virorum hominum,
Antequam Ulysses expergisceretur, offendens violaret.
Ipsique adeò retrò domum versus redierunt: neque Neptunus
Oblitus est minarum, quas divino Ulyssi
Prius minatus erat: Jovis tamen prius rogavit sententiam.
" Jupiter pater, non amplius ego in immortalibus Deis
" Honoratus ero, quandò me mortales minimè honorant
" Phæaces, qui tamen meo orti sunt ex genere.
" Etenim nunc Ulyssem dicebam mala multa passum
" Domum iturum; redeuntem verò illi nunquam eripui
" Omninò, quoniam tu primùm promisisti, & annuisti.
" Hi autem dormientem in navi veloci in pontum ducentes
" Deposuerunt in Ithacâ, dederunque ei ingentia dona,
" Æsque, aurúmque multum, vestémque textam,
" Multa, quæ nunquam Trojâ extulisset Ulysses;
" Si incolumis venisset sortitus de prædâ portionem.
Huic respondens affatus est nubicogus Jupiter:
" Vah! Neptune late-potens, quale dixisti?
" Non te despiciunt Dii; difficile enim esset
" Maximè-seniorem, post Jovem, & optimum ignominiâ prosequi.
" Virorum autem si quis te vi & robore cedens
" Non colit, tibi est & posthac ultio semper:
" Fac, ut vis, & tibi jucundum est animo.

ΣΧΟΛΙΑ.

123. Ὁδοιπόων.] Ὁδοιπῶν.
124. Ἔγρεσθαι.] Ἀναστῆναι. Δηλήσαιτο.] Βλάψοι, ἀντὶ τοῦ ἀφέληται.
129. Τιμήεις.] Τίμιος. Τίουσι.] Τιμῶσιν.
130. Ἐμῆς ἔξεσι γενέθλης.] Ἐν ἀντὶ τοῦ· ἐκ γὰρ Φαίακος, Ποσειδῶνος καὶ Κερκύρας, τῆς Ἀσωπίδος.
132. Ἀπημόνων.] Ἀντὶ τοῦ, ἀφελόμενον.
133. Ἐπεὶ σὺ πρῶτον.] Χρονικῶς.
135. Ἄλις.] Ἱκανῶς.
137. Ἐξέρεσε.] Ἐξαίρετα ἔλαβεν.
142. Πρεσβύτατον.] Ἐντιμότατον· ἢ μᾶλλον τὸν Δία· ἀλλαχοῦ γὰρ λέγει, Ἀλλὰ Ζεὺς πρέσβυς· μεγίστη. Ἄριστον.] Δυνατώτατον. Ἰσάζοντα.] Παρεβάλλοντα, ὁμοίους, ἐπιτίθεσθαι.
143. Βίῃ καὶ κάρτει εἴκων.] Νικώμενος καὶ τοῦ ἰσχυροτέρου βίᾳ, ἢ τῇ ἰσχύϊ· ἀπὸ γὰρ τούτου ἐκβιάζεται.
144. Τίει.] Τιμᾷ.

NOTÆ.

130. Ἐμῆς ἔξ εἰσι γενέθλης) Hæc potior *Scriptio*, quàm ἐμῆς ἔξεσι, quod sæpe notamus. Vid. ad κ'.
132. Ἀπημόνων) Hoc *Scholion* malè ad præcedens jungebatur, in Prioribus. Ἀπήμων, *Aldin.*
136. Ἄλις, ἐσθῆτά θ' ὑφαντήν) Vid. supra, ad v. 51.

NOTÆ IN SCHOLIA.

132. Ἀπημόνων) Hoc *Scholion* malè ad præcedens jungebatur, in Prioribus. Ἀπήμων, *Aldin.*
142. Voces, ἢ μᾶλλον τὸν Δία. Addo. μεγίστη) Ità pro ἰσχυρότατος, ex ipso *Homero, Iliad.* ν'. v. 355.

VARIÆ LECTIONES.

130. Ἐξ εἰσὶ) γρ. ἔξεσι, vid. Not. in *Textum.*
132. Ἀπημόνων) γρ. ἀπήμων, *Br. Schol.* & *H. Steph.*
137. Τροίης ἐξ ἤρατ') γρ. Τροίης ἐξέρατ', vid. supra, ad v. 130.

Τόνδ' ἠμείβετ' ἔπειτα Ποσειδάων ἐνοσίχθων,
Αἶψά κ' ἐγὼν ἔρξαιμι, Κελαινεφὲς, ὡς ἀγορεύεις·
Ἀλλὰ σὸν αἰεὶ θυμὸν ὀπίζομαι, ἠδ' ἀλεείνω.
Νῦν αὖ Φαίηκων ἐθέλω θοὴν ἀλλέα νῆα
Ἐκ πομπῆς ἀνιοῦσαν ἐν ἠεροειδέϊ πόντῳ
Ῥαῖσαι· ἵν' ἤδη ἅπαντες, ἀπόλληξωσι δὴ πομπῆς
Ἀνθρώπων· μέγα δέ σφιν ὄρος πόλει ἀμφικαλύψαι.
Τόνδ' ἀπαμείβετο εἰπὼν νεφεληγερέτα Ζεύς,
Ὦ πέπον, ὡς μοὶ ἐμοὶ θυμοὶ δοκεῖ εἶναι ἄριστα,
Ὁππότε κεν δὴ πάντες, ἐλαυνομένῳ περὶ δώμῳ
Λαοὶ ἀπὸ πτόλιος, θεῖναι λίθον ἐγγύθι γαίης
Νηΐ θοῇ ἴκελον, ἵνα θαυμάσσωσιν ἅπαντες
Ἀνθρωποι· μέγα δέ σφιν ὄρος πόλει ἀμφικαλύψαι.
Αὐτὰρ ἐπεὶ τόγ' ἄκουσε Ποσειδάων ἐνοσίχθων,
Βῆ ῥ' ἴμεν ἐς Σχερίην, ὅθι Φαίηκες γεγάασιν,
Ἔνθ' ἔμεν· ἡ δ' ἆρα μάλα σχεδὸν ἦλυθε πουλυπόρης νηῦς
Ῥίμφα διακομέουσ'· τὴν δ' ἐγγὺς ἦλθ' Ἐνοσίχθων,
Ὃς μιν λᾶαν ἔθηκε, καὶ ἐρρίζωσεν ἔρεισε,
Χειρὶ καταπρηνεῖ ἐλάσας· ὁ δὲ νόσφι βεβήκει.
Οἱ δὲ πρὸς ἀλλήλους ἔπεα πτερόεντ' ἀγόρευον
Φαίηκες δολιχήρεμοι ναυσίκλυτοι ἄνδρες·
Ὧδε δέ τις εἶπεσκε ἰδὼν ἐς πλησίον ἄλλον,
Ὤμοι, τίς δὴ νῆα θοὴν ἐπέδησε κατὰ πόντον,

Huic respondit postea Neptunus quassator-terræ,
" Statim utique ego fecero, Nubium-coactor, sicut dicis;
" Sed tuum semper animum observo, & vereor.
" Nunc itaque Phæacum volo perpulchram navem
" Ex Deductione redeuntem in nigro ponto
" Perdere (ut jam abstineant, desistantque à deductione
" Homines) magnumque ipsis montem ubi imponere.
Hunc respondens affatus est nubicogus Jupiter,
" O Chare, hoc quidem meo animo videtur esse optimum,
" Cùm jam omnis incitatam intuebitur
" Populus ab urbe, eam facere lapidem prope è terram
" Navi veloci similem, (ut admirentur omnes
" Homines) magnum autem ipsis montem urbi circumdare.
At postquam hoc audivit Neptunus quassator-terræ
Ingressus est iter in Scheriam, ubi Phæaces erant.
Illic ut esset, *vel*, ibi manebat: at valdè propè venit navigatrix navis
Celeriter remigando-acta; hanc igitur pè venit Neptunus,
Qui ipsam lapidem fecit & radicavit internè,
Manu pronâ feriens: hic verò recessit.
Alii inter se verba velocia loquebantur
Phæaces longorum remorum navibus-inclyti viri;
Sic inque aliquis dixit intuens in propinquum alium,
" Heu, quisnam navem velocem ligavit in ponto,

Σ Χ Ο Λ Ι Α.

148. Ὀκίζομαι.] Φυλάττομαι, αἰδοῦμαι, ἐντρέπομαι.
150. Ἀνιοῦσαν.] Ἀνερχομένην.
151. Ῥαῖσαι.] Διαφθεῖραι. Σχὼν δ'.] Ἀπόσχων δ'. παύσωσι. Ἀπολήξωσι.] Παύσωνται.
157. Θαυμάσσωσι.] Ὁρῶντες ἐκπλήττωνται.
163. Ἐρίζωσεν.] Ἀκίνητον ἐποίησεν.
164. Καταπρηνεῖ.] Καταχαμαὶ, κάτω. Ἐλάσας.] Τύψας, κρούσας.
168. Ἐπέδησεν.] Κατέσχεν, ἐνεπόδισεν.

N O T Æ.

157. Θαυμάσσωσι) Ità, pro θαυμάσσωσι, scribo; de quâ re mox, ad v. 184. *Aldina* tamen *Scholia* legunt θαυμάζωσι, ut & Editio *Morrhii* & *Bedroti*.
163. Ὃς μιν λᾶαν ἔθηκε) Præter Interpretes, vid. *Johannis Seldeni* Illustrationes, in *Michaelis Draytoni* Polyolbion, Cant. 3. fol. 49. & 50. ubi & de *Stonehenge*.

N O T Æ I N S C H O L I A.

168. Ἐνεπόδισεν) Pro corrupto, ἐνεπόδησεν.

V A R I Æ L E C T I O N E S.

147. Κελαινεφὲς) γρ. ἐνοσιφὲς, ut *Br. Schol.* ad *Iliad.* ι'. v. 534.
151. Ἀπολλίξωσι) γρ. λήξωσι.
157. Θαυμάσσωσι) γρ. θαυμάσωσι, malè; θαυμάζωσι, melius; vid. Not. in *Textum*.
161. Ἔμεν) γρ. ἴμεν', pro ἴμεναι, ut sit Sensus, *Ibi expellabat*, &c.

Οἵκαδ'

Οἶκαδ' ἱλαυομένῳ, καὶ δὴ πρὸφαίνετο πᾶσα.
Ὡς ἄρα τις εἶπεσκε· τὰ δ' οὐκ ἴσαν, ὡς ἐτέτυκτο.
Τοῖσιν δ' Ἀλκίνοος ἀγορήσατο καὶ μετέειπεν,
Ὦ πόποι, ἦ μάλα δή με παλαίφατα θέσφαθ' ἱκάνει
Πατρὸς ἐμοῦ, ὃς ἔφασκε Ποσειδάων' ἀγάσασθαι
Ἡμῖν, οὕνεκα πομποὶ ἀπήμονες εἰμὲν ἁπάντων.
Φῆ ποτε Φαίηκων ἀνδρῶν ἀριδείκετα νῆα
Ἐκ πομπῆς ἀνιοῦσαν ἐπὶ ληϊδέϊ πόντῳ
Ῥαισέμεναι, μέγα δ' ἦμιν ὄρος πόλει ἀμφικαλύψαι.
Ὣς ἀγόρευ' ὁ γέρων· τάδε δὴ νῦν πάντα τελεῖται.
Ἀλλ' ἄγεθ', ὡς ἂν ἐγὼν εἴπω, πειθώμεθα πάντες.
Πομπῆς μὲν παύσασθε βροτοῖσι, ὅτις κέν τις ἵκηται
Ἡμέτερον πρὸς ἄστυ· Ποσειδάωνι δὲ ταύρους
Δώδεκα κεκριμένους ἱερεύσομεν, αἴ κ' ἐλεήσῃ,
Μή ποτ' ἐπ' ἀμφικαλύψῃ ὄρος μέγα πόλει ἡμῶν.
Ὣς ἔφαθ'· οἱ δ' ἔδδεισαν, ἑτοιμάσαντο δὲ ταύρους·
Ὣς οἱ μὲν ῥ' εὐχοντο Ποσειδάωνι ἄνακτι
Δῆμοι Φαιήκων ἡγήτορες, ἠδὲ μέδοντες,
Ἑστῶτες περὶ βωμόν· ὁ δ' ἔγρετο δῖος Ὀδυσσεύς,
Εὖδων ἐν γαίῃ πατρωΐῃ, οὐδέ μιν ἔγνω,
Ἤδη δὴν ἀπεών· περὶ γὰρ θεὸς ἠέρα χεύεν,

" Domum verbis inciatam? & jam apparebat tota.
Sic utique quis dixit; hæc autem non intelligebat, quomodo facta eſſent.
His Alcinous concionatus eſt, & affatus,
" Dii Boni! Certè me valdè nunc antiqua Vaticinia attingunt
" Patris mei, qui dixit Neptunum iratum tore
" Nobis, quoniam Deductores innocui ſumus omnium:
" Dixit aliquando Phæacum virorum pergulchram navem
" Ex Deductione redeuntem in nigro ponto
" Perditurum, magnúmque nobis montem urbi impoſiturum.
" Sic dixit ſenex, hæc autem jam nunc omnia perficiuntur:
" Sed agè, ſicut ego dicam, parete omnes.
" Deductionem quidem omittite hominum, cùm fortè quis veniat
" Noſtram ad civitatem; Neptunoque tauros
" Duodecim electos ſacrificemus, ſi miſereatur,
" Neque nobis ingentem montem urbi impoſuerit.
Sic dixit; hi autem metuerunt, paraverunt tamen tauros.
Sic hi quidem ſupplicabant Neptuno regi
Populi Phæacum duces & curatores,
Stantes circùm altare. Excitatus eſt autem divinus Ulyſſes,
Recubans in terrâ patriâ, neque ipſam cognovit,
Jam diù remotus: circùm enim Dea nubem fudit,

Σ Χ Ο Λ Ι Α.

169. Πρὸφαίνετο.] Περφανὴς ἦν.
170. Οὐκ ἴσαν.] Οὐκ ᾔδεισαν.
173. Ἀγάσασθαι.] Ἄγαν ὀργισθῆναι.
182. Κεκριμένους.] Ἐπιλέκτους.
183. Περίμηκες.] Μέγα. Ἀμφικαλύψῃ.] Περικαλύψῃ.
185. Ὣς οἱ μὲν ῥ' εὐχοντο.] Καθὰ τὸ συνεπόμενον ἀφαιρέθησαν· τὸ γὰρ κυρωθὲν ὑπὸ θεῶν, ἐξ ἀνάγκης πληροῦται.
189. Ἀπεών.] Ἀπὼν, ἀποδημῶν. Χεῦεν.] Κατέχειν.

Ν Ο Τ Æ.

170. Ὡς ἄρα τις εἴπεσκε) Vid. ad *Iliad.* β'. v. 271.
177. Μέγα δ' ἦμιν ὄρος) De retracto Circumflexo, vid. ad *Anacreon*, v. 903. & ad *Sophocl.* Ajac. v. 748.
184. Ἑστιῶνται δ' ἥρωες) Ubi *Vocalis*, ante *ſimplex* σ', corripitur *Naturâ*, σ', *duplicandum* cenſeo, ut in hâc voce. *Iliad.* τ'. v. 197. Κάτθεσαν ἑστιόωντο παρὰ κλισίῃσι Διὸς τ', Ἠελίου τε. Et *Iliad.* α'. v. 118. Αὐτὰρ ἐμοὶ γέρας αὐτὸς ἑστιόωντι φέρεσθαι. ὄφρα μὴ οἶος. Quare ubi eadem *Syllaba* producenda, ex

Variæ Lectiones.

173. Ἀγάσασθαι) κ. ἀγάσεσθαι, & *Futurum* deſignatur.
184. Ἑστιώωντο) κ. ἑστιόωντο, vid. Not. in *Textum*.
188. Πατρωΐῃ) In Pluribus olim πατρῴῃ, at cùm *Homerus* Incontractis libentius utatur, & rotundius ità ſonet Metrum, πατρωΐῃ ſcribendum duximus, alterâ *Lectione*, in *Variis* reſervatâ, ut & mox, v. 251.
188. Πατρῴῃ) κ. πατρωΐῃ. vid. Not. in *Textum*.

necessitate geminatur Litera; ut *Iliad.* α'. v. 571. Θῆκε δ' Ὀδυσῆος, ὄφρ' ἰδὼν ἑστιόωτο Ἀθήνη. Et hoc in Optimis & Vetuſtiſſimis *Iliados Exemplaribus*; quare & hic fiat idem, ob eandem caulam; ut & ſuprà, v. 157. & aliás.

Παλλὰς Ἀθηναίη, κύδιμος Διός· ὄφρα μὲν αὐτὸν
Ἄγνωστον θύξειεν, ἕκαστά τε μυθήσαιτο·
Μή μιν πρὶν ἄλοχόν γε γνοίη, ἀστούς τε, φίλους τε,
Πρὶν πᾶσαν μνηστῆρσιν ὑπερφιάλοισι δίκτισαι.
Τοὔνεκ' ἄρ' ἀλλοιοῦτο Φαιήκεσσι πάντα ἄνακτι,
Ἀτρεκέως τοί τε δίκαιοι, ἀγήνορές τε πάροιθε,
Πέτρῃ τ' ἠλίβατοι, καὶ δένδρεα τηλεθόωντα.
Στῆ δ' ἄρ' ἀναΐξας, καὶ ἐπέδραμε πατρίδα γαῖαν·
Ὤιμωξέν τ' ἄρ' ἔπφατο, καὶ ὧ πεπληγέτο μηρὼ
Χερσὶ καταπρηνέσσι· ὀλοφυδόμενος δ' ἔπος ηὔδα,
Ὤ μοι ἐγὼ, τέων αὖτε βροτῶν ἐς γαῖαν ἱκάνω;
Ἦ ῥ' οἵγ' ὑβρισταί τε, καὶ ἄγριοι, οὐδὲ δίκαιοι,
Ἠὲ φιλόξεινοι, καί σφιν νόος ἐστὶ θεουδής;
Πῆ δὴ χρήματα πολλὰ φέρω πάνδ'; πῆ δὲ καὶ αὐτὸς
Πλάζομαι; αἴθ' ὄφελον μεῖναι ὧδ' Φαίηκεσσιν
Αὐτοῦ· ἐγὼ δέ κεν ἄλλον ὑπερμενέων βασιλήων
Ἐξικόμην, ὅς κέν μ' ἐφίλῃ καὶ ἔπεμπε πέηδε.
Νῦν δ' οὔτ' ἄρ πῃ θέσθαι ἐπίσταμαι, οὐδὲ μ' αὐτοῦ
Καλλείψω, μήπως μοὶ ἕλωρ ἄλλοισι γένηαι.
Ὤ πόποι, ὦ νύ μοι πάντα νοήμονες, ἠδὲ δίκαιοι
Ὅσσοι Φαίηκων ἡγήτορες, ἠδὲ μέδοντες,
Οἵ μ' εἰς ἄλλην γαῖαν ἀπήγαγον· ἦ τέ μ' ἔφαντο
Ἄξειν εἰς Ἰθάκην εὐδείελον· οὐδ' ἐτέλεσσαν.
Ζεὺς σφέας τίσαιτο ἰκετήσιος, ὅς τε καὶ ἄλλους

Pallas Minerva, filia Jovis, ut illum ipſum
Ignotum faceret, ſingulaſque profateretur:
Ut non ipſum ante uxor cognoſceret, civeſque, amicique,
Quàm omnem procis intemperiem rependeret.
Propterea variata videbantur omnia regi.
Viæque perpetuæ, portuſque contecti,
Petræque altæ & arbores virescentes,
Stetit igitur ſurgens, & inſpexit, patriam terram,
Flevitque poſtea, & ſua percuſſit femora,
Manibus dejectis, lugenſque locutus eſt,
" O ego, quorumnam rurſus hominum in terram veni?
